ΧΡΗΣΤΟΥ Γ. ΠΑΝΤΑΖΙΔΟΥ
ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΚΑΙ ΙΣΤΟΡΙΑΣ
ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

# ΤΑ
# ΠΕΡΙ ΓΥΝΑΙΚΟΣ ΠΑΡΑ ΠΛΑΤΩΝΙ
## ΦΙΛΟΣΟΦΟΥΜΕΝΑ

---

ΔΙΑΤΡΙΒΗ ΕΝΑΙΣΙΜΟΣ
ΕΠΙ ΔΙΔΑΚΤΟΡΙΑι ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΤΟΥ ΦΙΛΟΛΟΓΙΚΟΥ ΚΑΙ ΙΣΤΟΡΙΚΟΥ ΤΜΗΜΑΤΟΣ
ΤΗΣ ΑΝΩΤΑΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ
ΤΟΥ ΕΝ ΦΡΙΒΟΥΡΓΩι ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ

---

ΤΩΝ ΔΙΔΑΚΤΟΡΙΚΩΝ ΕΞΕΤΑΣΕΩΝ ΓΕΝΟΜΕΝΩΝ
τῇ ιη΄ (λα΄) μηνὸς Ἰουλίου τοῦ ͵αϡα΄ ἔτους

---

Freiburg i. B. 1903.

UNIVERSITATIS
ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

# INAUGURAL DISSERTATION

ZUR ERLANGUNG

DER PHILOSOPHISCHEN DOCTORWÜRDE

DER PHILOLOGISCH-HISTORISCHEN ABTEILUNG

DER HÖCHSTEN PHILOSOPHISCHEN FACULTÄT

DER UNIVERSITÄT FREIBURG i. B.

---

Tag des Doctorexamen: 31 Juli 1901

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΤΑ
# ΠΕΡΙ ΓΥΝΑΙΚΟΣ ΠΑΡΑ ΠΛΑΤΩΝΙ
# ΦΙΛΟΣΟΦΟΥΜΕΝΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## § Α΄ ΕΙΣΑΓΩΓΗ

Φύσει κοινωνία τῷ θήλει καὶ τῷ ἄρρενι μάλιστά ἐστιν. Ἀδύνατον δὲ τὸ θῆλυ ἄνευ τοῦ ἄρρενος ἢ τὸ ἄρρεν ἄνευ τοῦ θήλεος, ὥστε ἐξ ἀνάγκης αὐτῶν ἡ κοινωνία συνέστηκε· καὶ ἐν μὲν τοῖς ἄλλοις ζῴοις ἀλόγως τοῦτο ὑπάρχει καὶ ἐφ᾽ ὅσον μετέχουσι τῆς φύσεως, ἐπὶ τοσοῦτον καὶ τεκνοποιίας χάριν, ἐν τῷ ἀνθρώπῳ δὲ μάλιστα οὐ μόνον τοῦ εἶναι ἀλλὰ καὶ τοῦ εὖ εἶναι συνεργὰ ἀλλήλοις τὸ θῆλυ καὶ τὸ ἄρρεν ἐστὶ καὶ ἡ τῶν τέκνων κτῆσις οὐ λειτουργίας ἕνεκεν τῇ φύσει μόνον οὖσα τυγχάνει, ἀλλὰ καὶ ὠφελίας. Οὕτω προῳκονόμηται ἑκατέρου ἡ φύσις, τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικός, πρὸς τὴν κοινωνίαν. (1).

---

1) Ἀριστοτ. Οἰκον. Α,γ, 1-3. Περὶ γυναικὸς καθόλου ὅρα: *Mme Jeny d' Héricourt*—La femme affranchie. Bruxelles. 1860.—*P. Leroy-Beaulieu*—Le travail des femmes. Paris.1873.—*Ern. Legouvé*—Histoire morale des femmes. 7e édit. Paris. 1882.—*Ern. Legouvé*— Τὸ περὶ γυναικῶν ζήτημα μετὰ πλείστων προσθηκῶν καὶ σημειώσεων ὑπὸ Χρ. Γ.Πανταζίδου. Ἀθήνησιν. 1881. —*Paul Gide*--Étude sur la condition dela femme-2e éd. par *A. Esmein*. Paris. 1885.—*G. Breuillac* La condition civique et politique de la femme. Aix. 1886.—*Léon Giraud*—De la

Ε. Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Καὶ ἐπὶ πολὺ μὲν οὐκ εἰδότων τῶν πατέρων τὰ ἔκγονα, ταῦτα ἐκαλοῦντο ἀπὸ τῆς μητρὸς (2) καὶ ἐντεῦθεν τὸ *μητρικὸν δίκαιον* (3), ἀπὸ δὲ τοῦ πατριαρχικοῦ βίου καὶ παρ᾽ ἅπασι τοῖς βαρβάροις τὸ θῆλυ καὶ τὸ δοῦλον τὴν αὐτὴν εἶχε τάξιν (4), ἔργον δὲ καὶ κλέος τῆς γυναικὸς ἦν ἡ τεκνοποιΐα, ἑκάστου τότε πλείους ἀγομένου γυναῖκας (5). Παρὰ δὲ τοῖς παλαιοῖς Ἕλλησι (6),

---

condition des femmes. Paris. 1891. *Jeanne Chauvin*—Étude historique sur les professions accessibles aux femmes. Paris. 1892. — *Henri Marion*.—Psychologie de la femme. Paris. 1900 κ.τ.λ.

2) Ἄξια σημειώσεως ἃ ἀναφέρει Ἡρόδοτος, Α, 173: «Λύκιοι καλέουσι ἀπὸ τῶν μητέρων ἑωυτοὺς καὶ οὐκὶ ἀπὸ τῶν πατέρων. Εἰρομένου δὲ ἑτέρου τὸν πλησίον τίς εἴη, καταλέξει ἑωυτὸν μητρόθεν». Πρβλ. καὶ Νικόλαον Δαμασκηνὸν ἐν Ἰ. Στοβαίου Ἀνθολ. ΜΔ΄: «Οἱ Λύκιοι ἐκαλοῦντο μητρόθεν καὶ τὰς κληρονομίας ταῖς θυγατράσι καὶ οὐχὶ τοῖς υἱοῖς κατέλειπον» καὶ «τὰς γυναῖκας μᾶλλον ἢ τοὺς ἄνδρας τιμῶσι»· «Σαυρομάται δὲ ταῖς γυναιξὶ τὰ πάντα πείθονται ὡς δεσποίναις». Καὶ τὸ μνημονευόμενον πολεμικὸν τῶν Ἀμαζόνων ἔθνος τοιαύτης γυναικοκρατίας ἐστὶ παράδειγμα. Ἀλλὰ καὶ κατὰ τὴν ΙΗ΄ ἑκατονταετηρίδα παρά τισι λαοῖς ἐν Ἀσίᾳ καὶ Ἀμερικῇ τοῖς τέκνοις τὸ ὄνομα τῆς μητρὸς μετεδίδοτο (Montesquieu-Esprit des Lois ΚϚ΄ κεφ. ε΄ καὶ Larcher-La Femme jugée σελ. 516—517).

3) Ὅρα πλείω παρὰ J. J. Bachofen-Das Mutterrecht. Stuttgart. 1861.

4) Ἀριστοτ. Πολιτ. Α΄, α, 5. Πρβλ. καὶ Γενέσ. Γ΄. 16: «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου καὶ αὐτός σου κυριεύσει».

5) Γενέσ. ΙϚ΄ 1—2 καὶ Λ΄ 1. Πρβλ. καὶ E. Legouvé—Χρ. Πανταζίδου σελ. 67 καὶ 68.

6) Περὶ γυναικὸς παρὰ τοῖς παλαιοῖς ἔπιθι: *Ars. Houssaye*-Les femmes du temps passé. 1862. — *J. Le Rainneville*-La femme dans l'antiquité. 1865. *Cl. Bader*-La femme dans l'Inde

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Ο ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΠΑΠ-Κ.ΤΠ ΙΩΑΝΝΙΝΑ 2006

παρ' οἷς ἡ πολυγαμία οὐκ εἴθισται (7), κατὰ μὲν τὴν θεογονίαν *Γαῖα* εὐρύστερνος (8) μετὰ τὸ χάος πρώτη ἐγένετο, πάντων ἕδος ἀσφαλὲς ἀθανάτων, οἳ εἶχον κάρη νιφόεντος Ὀλύμπου, *Ῥέα* δὲ ἦν ἡ μήτηρ τοῦ πατρὸς ἀνδρῶν τε θεῶν τε Πανελληνίου *Διὸς* καὶ καθόλου γυναῖκες παριστῶσι τὸ κάλλος, τὰς χάριτας, τὴν σοφίαν, τὰς μούσας, τὴν δίκην καὶ ἄλλας ἐνεργείας καὶ ἰδιότητας, οὐδαμῶς τῶν ἄλλων θεῶν κατώτεραι (9). Ἐπὶ δὲ τῶν ἡρωικῶν χρόνων τιμὴ καὶ σέβας τῷ θήλει ἀπενέμετο, ὡς ἐν τοῖς τοῦ θείου ἀοιδοῦ ἔπεσι, τῇ Ἰλιάδι καὶ μάλιστα τῇ Ὀδυσσείᾳ, ἥπερ πᾶσα ἔπαινός γ' ἐστι τῆς σώφρονος Πηνελόπης, τρανῶς καταδείκνυται (10). Μίαν

antique. Paris. 1864.—La femme biblique. 1866.—La femme Grecque, 2 vol. 2e édit. 1872. — La femme Romaine, 2e édit. 1877.—*Babuder*-La donna Spartana. 1879. — *Louis de Backer*-Le droit de la femme dans l'antiquité. 1880. — *Lewy*-De civili conditione mulierum graecarum. 1885. — *A. Hustrel*-Condition sociale de la femme depuis l'antiquité jusqu'à nos jours. Paris. 1887. — *Otto Henne am Rhyn*-Die Frau in der Kulturgeschichte. Berlin. 1892, σελ. 1—168. — *Lily Braun*-Die Frauenfrage im Altertum (Archiv für soziale Gesetzgebung und Statistik. Berlin. 1898, σελ. 155—178.—*Karl H. Schaible*-Die Frau im Altertum. Karlsruhe. 1898.

7) Πρβλ. Ἡροδ. Β' 92 καὶ Ε' 39, 40.

8) Ἡσιόδ. στ. 117 - 19.

9) Cf. Bader La femme Grecque, τόμ. B, σελ. 131.

10) Περὶ τῆς Ὁμηρικῆς γυναικὸς ὅρα: *F. B. Chamboulin*-Études sur les femmes d'Homère. 1854.—*Grandsard*-De homericis mulieribus. 1859.—Κλ. Ρ. Ραγκαβῆ-Τὸν καθ' Ὅμηρον οἰκιακὸν βίον. Ἐν Ἀθήν. 1883, σελ. 63—79. Πρβλ. καὶ ἡμετέραν

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΑΠΗΣ Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐφίλουν κουριδίην ἄλοχον οἱ Ἀχαιοὶ καὶ ἡ ἀνδρὸς καὶ γυναικὸς ἐν τῷ γάμῳ ὁμοφροσύνη ἄριστον ἐλογίζετο·

οὐ μὲν γὰρ τοῦγε κρεῖσσον καὶ ἄρειον
ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή (11).

Ἀκράτου δὲ καὶ ἀδόλου τῶν συνεύνων ἔρωτος τεκμήριον περίδοξον πλὴν τῆς Πηνελόπης καὶ Ἀνδρομάχη ἡ Ἕκτορος, ἥπερ πρὸς τὸν κορυθαίολον ἄνδρα δάκρυ χέουσα πρὸς ἄλλοις καὶ τάδε ἔλεγεν·

Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ
ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης (12).

Ἀρήτη δὲ ἡ τοῦ μεγαλήτορος βασιλέως τῶν Φαιάκων Ἀλκίνου συνετὴ γυνὴ τῶν τε ὁμιλιῶν πασῶν ἰδίᾳ τε καὶ δημοσίᾳ μετεῖχε καὶ τὰ μέγιστα ἐτιμᾶτο ὑπ' αὐτοῦ τοῦ Ἀλκίνου καὶ τῶν φίλων παίδων καὶ τῶν λαῶν, οἵπερ ὡς θεὰν αὐτὴν ἐπευφημοῦντες ὑπεδέχοντο ἀνὰ τὸ ἄστυ διαβαίνουσαν (13). Καὶ ἄλλα πλεῖστα καὶ κάλλιστα γυναικείας τιμῆς καὶ ἐλευθερίας παρ' Ὁμήρῳ παραδείγματα.

Ἀλλὰ τὰ ἐν τοῖς ὁμηρικοῖς ποιήμασι ἥμερα καὶ ἡδέα περιγραφόμενα ἤθη τῶν Ἀχαιῶν ἀπέβησαν ὕστερον σκληρὰ καὶ δυσκατάλλακτα τὸ μὲν ἐμφυλίων ἐρίδων τὸ δὲ καὶ πλείονος πρὸς τοὺς Ἀσιανοὺς ἐπικοινωνίας ἕνε-

---

μελέτην: Ἡ γυνὴ καθ' Ὅμηρον, ἐν «Κήρυκι» Κων]πόλεως 1893. Τεῦχ. Μαρτίου, σελ. 333—337.—

11) Ὀδυσσ. Ζ, στ. 183—185.

12) Ἔπιθι τὴν θελκτικὴν σκηνὴν ἐν Ἰλ. Ζ, στ. 395—495

13) Ὀδυσσ. Η, στ. 65—77.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κεν. Μόνοι δὲ οἱ *Δωριεῖς* (14) ἔν τε τῇ Κρήτῃ, τῇ Σπάρτῃ καὶ τῇ μεσημβρινῇ Ἰταλίᾳ ἡγοῦντο τὸν γυναικεῖον νοῦν καλλιεργίας ἐπιδεκτικὸν καὶ τὰς γυναῖκας μᾶλλον θεραπεύοντες *δεσποίνας* προσηγόρευον (15)· καὶ τῶν φιλοσόφων οἱ Πυθαγόρειοι ἴσην ἀξίαν ἀμφοτέροις τοῖς φύλοις ἀπεδίδοσαν (16) Παρὰ δὲ ταῖς *Ἰωνικαῖς* τῆς Ἑλλάδος πολιτείαις ἐν ὑποτελείᾳ ἦν τὸ θῆλυ γένος καὶ αἱ Ἰάδες σὺν τῇ ἐλευθερίᾳ ἀπώλεσαν καὶ τὴν ἠθικὴν ἐκείνην ἀξιοπρέπειαν τῆς καθ' Ὅμηρον γυναικὸς ἐν τῇ γυναικωνίτιδι τὸ πλεῖστον περικλεισθεῖσαι (17). Καὶ τοῦ γάμου ἐξ ἀρχῆς ἐν ἥττονι μοίρᾳ παρὰ τοῖς Ἴωσι τιθεμένου, τὴν σεμνὴν τῶν ἁγνῶν δεσμῶν προστάτιν Δήμητρα ἡ Ἀφροδίτη ἀντικατέστησε καὶ παρὰ πᾶσι μέγα ἐδύναντο αἱ ἐξ Ἰωνίας *ἑταῖραι* (18)·

---

14) K. O. Muller-Die Dorier, II, 4 § 2 - 4.

15) Πλουταρχ. Λυκουργ. ιδ' 2. Ἀλλ' ἡ ἐν Σπάρτῃ ἐλευθερία καὶ δύναμις τῶν γυναικῶν ἐπήνεγκε γυναικοκρατίαν καὶ πολλὰ διῳκεῖτο ὑπὸ τῶν γυναικῶν ἐπὶ τῆς ἀρχῆς αὐτῶν. Καίτοι τί διαφέρει γυναῖκας ἄρχειν ἢ τοὺς ἄρχοντας ὑπὸ τῶν γυναικῶν ἄρχεσθαι; (Ἀριστ. Πολιτ. Β', Ϛ', 5 - 11).

16) Πρβλ. Φίντυος Πυθαγορείας ἐκ τοῦ Περὶ γυναικὸς σωφροσύνας (Fragm. Philos. Graecorum τόμ. Β' Didot σελ. 36 - 37): «Πολλοὶ μὲν ἴσως δοξάζοντι ὅτι οὐκ εὐάρμοστον γυναικὶ φιλοσοφέν, ὥσπερ οὐδ' ἱππεύεν οὐδὲ δαμαγορέν· ἐγὼ δὲ τὰ μέν τινα νομίζω ἀνδρὸς ἦμεν ἴδια, τὰ δὲ γυναικός, τὰ δὲ κοινὰ ἀνδρὸς καὶ γυναικός, τὰ δὲ μᾶλλον ἀνδρὸς ἢ γυναικός, τὰ δὲ μᾶλλον γυναικὸς ἢ ἀνδρός . . . »

17) Ἠρ. Βασιάδου — Περὶ τοῦ Ἑλλην. Πολιτισμοῦ καὶ Παιδείας (Περιοδικὸν Ἑλλ. Φιλ. Συλλόγου Κ/πόλεως. Τόμ. ΙΓ' σελ. 281).

18) Ern. Curtius-Griech. Geschichte, μετάφρ. ὑπὸ Σ. Π. Λάμπρου. 1899. Τόμ. Β' σελ. 363 καὶ 599.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Διὸ καὶ οἱ Ἀθηναῖοι ἀπροκαλύπτως ἔλεγον (19): «τὰς μὲν *ἑταίρας* ἡδονῆς ἕνεκ' ἔχομεν, τὰς δὲ *παλλακὰς* τῆς καθ' ἡμέραν θεραπείας τοῦ σώματος, τὰς δὲ *γυναῖκας* τοῦ παιδοποιεῖσθαι γνησίως καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν».

---

## § Β' Η ΓΥΝΗ ΕΝ ΑΘΗΝΑΙΣ

Ἡ ἰωνικὴ ἡδυπάθεια ἐν Ἀττικῇ συνήθης ἦν ἐπὶ Σόλωνος. Ἀλλ' ὅτε μετὰ τὰ Μηδικὰ οἱ Ἀθηναῖοι μεγαλοψυχότεροι πρὸς ἀρετὴν γενόμενοι καὶ ἐκ τῶν ἔργων φρονηματισθέντες πάσης ἥπτοντο μαθήσεως (20), τὸ δὲ κλεινὸν καὶ ἰοστέφανον ἄστυ *πρυτανεῖον* ἦν τῆς σοφίας, κοινὸν *παιδευτήριον* καὶ *μουσεῖον* καὶ τῆς *Ἑλλάδος παίδευσις* (21), καὶ τῶν ἠθῶν ἐπὶ τὰ βελτίω τραπομένων ὁ γάμος θεσμὸς πολιτικὸς μέγιστος ἐλογίζετο καὶ ἡ Ἀθηναία ἐτιμᾶτο (22)· διὸ δὴ καὶ αἱ Ἀτθίδες δέσποιναι ἀμαθίαν μετὰ σωφροσύνης μᾶλλον αἱρούμεναι δυσμενῶς διέκειντο πρὸς τὰς ἐξ Ἰωνίας φοιτώσας

---

19) Δημοσθ. κατὰ Νεαίρ. σελ. 1386, 70.

20) Ἀριστοτ. Πολιτ. Ζ, ς', 6.

21) Πλάτ. Πρωταγ. 337d. Διοδ. Σικελ. ΙΓ, 27. Θουκ. Β, 41. Πρβ. καὶ *K. F. Hermann*-Geschichte und System der platon. Philosophie, σελ. 87 σημ. 15.

22) Ern. Curtius, αὐτόθι, σελ. 597—599. Περὶ δὲ τῆς γυναικὸς ἐν Ἀθήναις ὅρα: *Vandenes*-De jure familiarum apud Athenienses. Leyde. 1864. *Lallier*-La femme dans la famille Athénienne. 1875. — Ἠρ. Βασιάδου, αὐτόθι, σελ. 288 — 298. *P. Girard*-L'éducation Athénienne, σελ. 75 - 83.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΠΙΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἑταίρας, αἵπερ ποικίλοις θελγήτροις τὴν τῶν Ἀθηναίων κατέσκαπτον οἰκιακὴν εὐδαιμονίαν.

Αἱ κόραι ἐν Ἀθήναις διαμένουσαι οἴκοι παρὰ ταῖς μητράσιν ἐμάνθανον νήθειν, ῥάπτειν, ποικίλλειν καὶ ἄλλα οἰκιακὰ ἔργα ἐπιτελεῖν, πρὸς δὲ ἐδιδάσκοντο γραφὴν καὶ ἀνάγνωσιν, ᾄδειν δὲ καὶ ὀρχεῖσθαι καὶ κιθαρίζειν (23). Πεντεκαιδεκέτεις δ' εἰς γάμον ἀγόμεναι ἦσαν μὲν ἀδαεῖς καὶ ἄπειροι ἀλλ' ἐκ τοῦ πατρῴου οἴκου ἀπέφερον μέγιστον ἀγαθόν, τὸ *σωφρονεῖν*, τὴν κρηπῖδα ταύτην τῆς οἰκιακῆς εὐημερίας. Καὶ ἡ γυνὴ τοῦ Ἰσχομάχου, ὡς μνημονεύεται ἐν τῷ ἠθικωτάτῳ καὶ τερπνοτάτῳ *Οἰκονομικῷ* τοῦ Ξενοφῶντος, τῆς τοῦ οἴκου διοικήσεως μετασχεῖν κληθεῖσα ἀπεκρίνατο (24): «τί δ' ἂν ἐγώ σοι δυναίμην συμπρᾶξαι; τίς δ' ἡ ἐμὴ δύναμις; ἀλλ' ἐν σοὶ πάντα ἐστίν· ἐμὸν δ' ἔφησεν ἡ μήτηρ ἔργον εἶναι *σωφρονεῖν*». Εἰκονίζονται δ' αἱ Ἀθηναῖαι ὑπὸ συγχρόνων πεζογράφων καὶ ποιητῶν ἀγαθαί, πλήρεις φρονήματος, φίλαι τοῦ οἰκιακοῦ βίου, φιλάδελφοι, φίλανδροι καὶ φιλόστοργοι μητέρες. Θαυμαστοὶ δὲ καὶ λαμπροί εἰσιν οἱ γυναικεῖοι μεγάλοι τύποι, οὓς ἐν αἴγλῃ

---

23) *Grasberger*-Erziehung und Unterricht im klass-Altertum, Γ', 503. — *K. Schmidt*. Geschichte der Paedagogik-4e Aufl. τόμ. Α', Cöthen. 1890, σελ. 550—554. Περὶ δὲ τῆς Ἀθηναϊκῆς παιδεύσεως καθόλου πρβ. *A. Cramer*-De educatione puerorum apud Athenienses. Marburg. 1833. — *W. Dittenberger*. De ephebis Atticis. Gottingen. 1863.—*Paul Girard*-L'éducation Athénienne au Ve et IVe siècle avant J. C. 2e éd. Paris. 1891.

24) Οἰκον. Ζ, 14. — Περὶ δὲ τῆς ἐν τῷ οἴκῳ ἀνδρὸς καὶ γυναικὸς συμπράξεως ὅρα αὐτόθι, Γ, 10—13.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Αγτης Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ μεγαλοπρεπείᾳ περιέγραψαν οἱ τρεῖς μέγιστοι Ἀθηναῖοι τραγικοὶ (25).

---

## § Γ΄ ΓΕΝΙΚΗ ΠΕΡΙ ΓΥΝΑΙΚΟΣ ΚΑΙ ΠΑΙΔΕΙΑΣ ΔΟΞΑ ΤΟΥ ΠΛΑΤΩΝΟΣ

Τὴν δὲ κοινὴν περὶ γυναικείας ἀρετῆς δόξαν, ὅτι δεῖ αὐτὴν τὴν οἰκίαν εὖ οἰκεῖν σῴζουσάν τε τὰ ἔνδον καὶ κατήκοον οὖσαν τοῦ ἀνδρός (26), ὁρίζεται δι' ὅλου τοῦ Οἰκονομικοῦ ὁ Ξενοφῶν, κύριον τῶν γυναικῶν ἔργον θεωρῶν τὴν ἔνδον τοῦ οἴκου διοίκησιν (27), καίπερ ἀποφαινόμενος (28): «οὐκ ἂν ἔχοις διελεῖν πότερα τὸ ἔθνος τὸ θῆλυ ἢ τὸ ἄρρεν πλεονεκτεῖ». Ὡσαύτως δὲ καὶ ὁ λογιώτατος τῶν φιλοσόφων Ἀριστοτέλης (29) ὁμολογῶν

---

25) Πρβ. Χ. Πανταζίδου. Γυναικεῖοι χαρακτῆρες παρὰ τῷ Σοφοκλεῖ. Ἐν Ἡμερολογίῳ «Ἀστὴρ τῆς Ἀνατολῆς». 1898 σελ. 18 - 59.

26) Πλάτωνος Μέν. 71 e.

27) Οἰκονομ. Ζ, 23, 28: «Ἡ φύσις — ῥίγη μὲν καὶ θάλπη καὶ ὁδοιπορίας καὶ στρατείας τοῦ ἀνδρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν μᾶλλον δύνασθαι καρτερεῖν κατεσκεύασεν, ὥστε τὰ ἔξω ἐπέταξεν αὐτῷ ἔργα· τῇ δὲ γυναικὶ ἧττον τὸ σῶμα δυνατὸν πρὸς ταῦτα φύσας τὰ ἔνδον ἔργα αὐτῇ προστάξαι μοι δοκεῖ ὁ Θεός . . . Διὰ δὲ τὸ τὴν φύσιν μὴ πρὸς πάντα ταὐτὰ ἀμφοτέρων εὖ πεφυκέναι, διὰ τοῦτο καὶ δέονται μᾶλλον ἀλλήλων καὶ τὸ ζεῦγος ὠφελιμώτερον ἑαυτῷ γεγένηται, ἃ τὸ ἕτερον ἐλλείπεται τὸ ἕτερον δυνάμενον».

28) Αὐτόθι, Ζ, 26.

29) Πολιτ. Α, e, 1. «Τό τε γὰρ ἄρρεν φύσει τοῦ θήλεος ἡγεμονικώτερον» — Αὐτόθι, 6. «Καὶ πᾶσιν ἐνυπάρχει μὲν τὰ μόρια τῆς ψυχῆς, ἀλλ' ἐνυπάρχει διαφερόντως. Ὁ μὲν γὰρ δοῦλος ὅλως οὐκ ἔχει τὸ βουλευτικόν, τὸ δὲ θῆλυ ἔχει μέν, ἀλλ' ἄκυρον· ὁ δὲ παῖς ἔχει μέν, ἀλλ' ἀτελές». — Αὐτόθι, 8. «Οὐχ ἡ αὐτὴ σωφροσύνη γυναικὸς καὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ.
Ε.Υ.Π. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὸ θῆλυ ἀσθενέστερον τὸ σῶμα καὶ τὴν ψυχὴν ὑποδεέ-

---

ἀνδρός, οὐδ' ἀνδρεία καὶ δικαιοσύνη, καθάπερ ᾤετο Σωκράτης, ἀλλ' ἡ μὲν ἀρχικὴ ἀνδρεία, ἡ δ' ὑπηρετική. Ὁμοίως δ' ἔχει καὶ περὶ τὰς ἄλλας. . . » — Οἰκονομ. Α', κ. 1. « Οὕτω προῳκονόμηται ὑπὸ τοῦ θείου ἑκατέρου ἡ φύσις, τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικός, πρὸς τὴν κοινωνίαν. Διείληπται γὰρ τῷ μὴ ἐπὶ ταὐτὰ πάντα χρήσιμον ἔχειν τὴν δύναμιν, ἀλλ' ἔνια μὲν ἐπὶ τἀναντία, εἰς ταὐτὸ συντείνονται· τὸ μὲν γὰρ ἰσχυρότερον, τὸ δ' ἀσθενέστερον ἐποίησεν, ἵνα τὸ μὲν φυλακτικώτερον ᾖ διὰ τὸν φόβον, τὸ δ' ἀμυντικώτερον διὰ τὴν ἀνδρείαν, καὶ τὸ μὲν πορίζῃ τὰ ἔξωθεν, τὸ δὲ σώζῃ τὰ ἔνδον· καὶ πρὸς τὴν ἐργασίαν τὸ μὲν δυνάμενον ἑδραῖον εἶναι, πρὸς δὲ τὰς ἔξωθεν θυραυλίας ἀσθενές, τὸ δὲ πρὸς μὲν τὰς ἡσυχίας χεῖρον, πρὸς δὲ τὰς κινήσεις ὑγιεινόν· καὶ περὶ τῶν τέκνων τὴν μὲν γένεσιν ἴδιον, τὴν δὲ ὠφέλειαν κοινήν· τῶν μὲν γὰρ τὸ θρέψαι, τῶν δὲ τὸ παιδεῦσαί ἐστιν ». Περὶ τὰ ζῷα ἱστορ. Θ' α' 2—4 « . . Ἐν πᾶσι δ' ὅσοις ἐστὶ γένεσι τὸ θῆλυ καὶ τὸ ἄρρεν, σχεδὸν ἡ φύσις ὁμοίως διέστησε τὸ ἦθος τῶν θηλειῶν πρὸς τὸ τῶν ἀρρένων· μάλιστα δὲ φανερὸν ἐπί τε τῶν ἀνθρώπων καὶ τῶν μέγεθος ἐχόντων καὶ τῶν ζῳοτόκων τετραπόδων· μαλακώτερον γὰρ τὸ ἦθός ἐστι τὸ τῶν θηλειῶν, καὶ τιθασεύεται θᾶττον καὶ προσίεται τὰς χεῖρας μᾶλλον, καὶ μαθητικώτερον. . . Ἀθυμότερα δὲ τὰ θήλεα πάντα τῶν ἀρρένων. . . Ἐν δὲ τοῖς ἄλλοις γένεσι τὰ θήλεα μαλακώτερα καὶ κακουργότερα καὶ ἧττον ἁπλᾶ καὶ προπετέστερα καὶ περὶ τὴν τῶν τέκνων τροφὴν φροντιστικώτερα, τὰ δ' ἄρρενα ἐναντίως θυμωδέστερα καὶ ἀγριώτερα καὶ ἁπλούστερα καὶ ἧττον ἐπίβουλα. Τούτων δ' ἴχνη μὲν τῶν ἠθῶν ἔστιν ἐν πᾶσιν, ὡς εἰπεῖν, μᾶλλον δὲ φανερώτερα ἐν τοῖς ἔχουσι μᾶλλον ἦθος καὶ μάλιστα ἐν ἀνθρώπῳ· τοῦτο γὰρ ἔχει τὴν φύσιν ἀποτετελεσμένην, ὥστε καὶ ταύτας τὰς ἕξεις εἶναι φανερωτέρας ἐν αὐτοῖς· διόπερ γυνὴ ἀνδρὸς ἐλεημονέστερον καὶ ἀρίδακρυ μᾶλλον, ἔτι δὲ φθονερώτερον καὶ μεμψιμοιρότερον, καὶ φιλολοίδορον μᾶλλον καὶ πληκτικώτερον. Ἔστι δὲ καὶ δύσθυμον μᾶλλον τὸ θῆλυ τοῦ ἄρρενος καὶ δύσελπι καὶ ἀναιδέστερον καὶ ψευδέστερον, εὐαπατητότερον δὲ καὶ μνημονικώτερον, ἔτι δ' ἀγρυπνότερον καὶ ὀκνηρότερον καὶ ὅλως ἀκινητότερον τὸ θῆλυ τοῦ ἄρρενος, καὶ τροφῆς ἐλάττονός ἐστιν ». Π. β. καὶ Πολιτ. Γ, γ, 10 καὶ ἀλλαχοῦ. Ἐν οὐκ ὀλίγοις δὲ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. τμσκ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

στερον ἀφορίζει ταύτῃ μόνα τὰ ἔνδον ἔργα καὶ ἐπιμε-

---

τοῦ Ἀριστοτέλους χωρίοις, ἐν οἷς γίνεται ἄρρενος καὶ θήλεος σύγκρισις, ἰσότης τις ἐν τῇ διαφορᾷ διαφαίνεται καὶ πλεονεκτεῖ τὸ ἄρρεν καθ' ὅ τι ἐνυπάρχει ἰσχυρότερον, τὸ δὲ θῆλυ καθ' ὅ τι λεπτότερον. Ὅρα Περὶ ζώων μορίων Β, β, ζ.—Περὶ τὰ ζῷα Ἱστορ. Δ, ια, 5—7.—Αὐτόθι Δ, β, 9, 13.—Ζ, α, 3.—Τῶν μετὰ τὰ Φυσικὰ Θ, θ, 1, 6.—Περὶ ζώων γενέσεως Α, β.—Ῥητορ. Α, ε, 6.—Ὁ δὲ Χαιρωνεὺς φιλόσοφος ὁ τοὺς ἐνδόξους ἄνδρας ὑμνήσας οὐκ ἐπελάθετο καὶ τῶν θηλειῶν, ἀλλ' ἐν ἰδίῳ ἔργῳ τὰς τῶν «Γυναικῶν ἀρετάς» ἐξαίρων μίαν εἶναι καὶ τὴν αὐτὴν ἀνδρός τε καὶ γυναικὸς ἀρετὴν ἀποφαίνεται ἀναγράφων: «Τί δέ; ἐὰν ποιητικὴν ἢ μαντικὴν ἀποφαίνοντες οὐχ ἑτέραν μὲν ἀνδρῶν, ἑτέραν δὲ γυναικῶν οὖσαν, ἀλλὰ τὴν αὐτήν, τὰ Σαπφοῦς μέλη τοῖς Ἀνακρέοντος, ἢ τὰ Σιβύλλης λόγια τοῖς Βάκιδος ἀντιπαραβάλλωμεν, ἕξει τις αἰτιάσασθαι δικαίως τὴν ἀπόδειξιν, ὅτι χαίροντα καὶ τερπόμενον ἐπάγει τῇ πίστει τὸν ἀκροατήν; οὐδὲ τοῦτο ἂν εἴποις. Καὶ μὴν οὐκ ἔστιν ἀρετῆς γυναικείας καὶ ἀνδρείας ὁμοιότητα καὶ διαφορὰν ἄλλοθεν καταμαθεῖν μᾶλλον, ἢ βίους βίοις, καὶ πράξεσι πράξεις, ὥσπερ ἔργα μεγάλης τέχνης παρατιθέντα, ἅμα καὶ σκοποῦντας, εἰ τὸν αὐτὸν ἔχει χαρακτῆρα καὶ τύπον ἡ Σεμιράμιδος μεγαλοπραγμοσύνη τῇ Σεσώστριδος, ἢ ἡ Τανακυλλίδος σύνεσις τῇ Σερουΐου τοῦ βασιλέως, ἢ τὸ Πορκίας φρόνημα τῷ Βρούτου, καὶ τῷ Πελοπίδου τὸ Τιμοκλείας, κατὰ τὴν κυριωτάτην ὁμοιότητα καὶ δύναμιν. Ἐπειδὴ διαφοράς γε ἰδίας αἱ ἀρεταὶ διὰ τὰς φύσεις λαμβάνουσι, καὶ συνεξομοιοῦνται τοῖς ὑποκειμένοις ἔθεσι καὶ κράσεσι σωμάτων καὶ τροφαῖς καὶ διαίταις· ἄλλως γὰρ ἀνδρεῖος ὁ Ἀχιλλεύς, ἄλλως ὁ Αἴας· καὶ φρόνησις Ὀδυσσέως οὐχ ὁμοία τῇ Νέστορος, οὐδὲ δίκαιος ὡσαύτως Κάτων καὶ Ἀγησίλαος, οὐδ' Εἰρήνη φίλανδρος ὡς Ἄλκηστις, οὐδὲ Κορνηλία μεγαλόφρων ὡς Ὀλυμπιάς· ἀλλὰ μὴ παρὰ τοῦτο πολλὰς καὶ διαφόρους ποιοῦμεν ἀνδρείας καὶ φρονήσεις καὶ δικαιοσύνας, ἂν μόνον τοῦ λόγου τοῦ οἰκείου μηδεμίαν αἱ καθ' ἕκαστον ἀνομοιότητες ἐκβιάζωσιν». Καὶ ἀλλαχοῦ (Ἐρωτ. ΚΓ, 10—13) ὁ αὐτός φησιν: «Ἄτοπον οὖν τὸ γυναιξὶν ἀρετῆς φάναι μηδ' ἄλλης μετεῖναι· τί δὲ λέγειν περὶ σωφροσύνης καὶ συνέσεως αὐτῶν, ἔτι δὲ πίστεως καὶ δικαιοσύνης, ὅπου καὶ τὸ ἀνδρεῖον καὶ τὸ θαρραλέον καὶ τὸ μεγαλόψυχον ἐν πολλαῖς ἐπιφανὲς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

λήματα, συνεπαγόμενος τὸ τοῦ ποιητοῦ (30): «γυναιξὶ κόσμον ἡ σιγὴ φέρει».

Ἀλλ' ὁ θεῖος τοῦ σοφωτάτου Σωκράτους μαθητὴς καὶ τοῦ Χριστιανισμοῦ πρόδρομος *Πλάτων* (31) ταῖς πατρίοις ταύταις παραδόσεσι καὶ τοῖς τοιαῦτα φρονοῦσιν ἀντιταττόμενος καὶ τὴν ὑποτέλειαν τῆς γυναικὸς ἀποκρύπτων ἰσότητα ἐν τῇ διαφορᾷ τῆς φύσεως τῶν δύο φύλων ἀποδέχεται· καὶ ἀξιῶν τὴν αὐτὴν ἄρρενός τε καὶ θήλεος παίδευσιν κακῶς λέγει τοὺς τὴν γυναῖκα ἀπείρξαντας παντὸς ἐπιτηδεύματος νομοθέτας καί φησι πάντων ἀνοητότατα γίγνεσθαι τὸ μὴ πάσῃ ῥώμῃ πάντας ὁμοθυμαδὸν ἐπιτηδεύειν ἄνδρας γυναιξὶ ταὐτά· σχεδὸν γὰρ ὀλίγου πᾶσα ἡμίσεια πόλις ἀντὶ διπλασίας οὔ-

---

γέγονεν; . . . Καὶ γὰρ φιλότεκνοι καὶ φίλανδροι καὶ τὸ στεργητικὸν ὅλως ἐν αὐταῖς· ἡ δὲ φύσις γυναικὶ περιθεῖσα χάριν ὄψεως καὶ φωνῆς πιθανότητα καὶ μορφῆς ἐπαγωγὸν εἶδος, τῇ μὲν ἀκολάστῳ πρὸς ἡδονὴν καὶ ἀπάτην, τῇ δὲ σώφρονι πρὸς εὔνοιαν ἀνδρὸς καὶ φιλίαν, μεγάλα συνήργησεν».

30) Σοφοκλ. Αἴαντ. στ. 293.—Πρβ. καὶ Θουκ. Β, 45,2.

31) Περὶ τῆς Πλατωνικῆς φιλοσοφίας καθόλου ἔπιθι: *K. Fr. Hermann* — Geschichte und System der platonischen Philosophie. Hedelberg. 1839.— *A. Chaignet*.—La vie et les écrits de Platon Paris. 1871. Ν. Κοτζιᾶ—Ἱστορ. τῆς φιλοσοφίας τόμ. Α', ἐν Ἀθήναις. 1876. σελ. 402—548.—*Ed. Zeller*—Die Philosophie der Griechen, B, a, 4e Aufl. Leipzig. 1889 σελ. 389—982.— *Alfr. Fouillée*—La philosophie de Platon, 2e éd. 4 τόμ. 1888—89.—*Fr. Ueberwegs*—Geschichte der Philosophie, Α, 8e Aufl. Berlin. 1894. σελ. 137—189.—*E. Pfleiderer*-Socrates und Plato. Tübingen. 1896.

τως ἔστι τε καὶ γίγνεται ἐκ τῶν αὐτῶν τελῶν καὶ πόνων (32).

Ὁ ἡμέτερος φιλόσοφος ἐτυμολογῶν (33) τὰς λέξεις: ἀνὴρ ἀπὸ τῆς ἄνω ῥοῆς, γυνὴ ἀπὸ τῆς γονῆς καὶ θῆλυ ἀπὸ τῆς θηλῆς ἀνομολογεῖ μὲν πολλαχοῦ (34) τοὺς ἄνδρας καὶ τὰς γυναῖκας πλεῖστον κεχωρισμένους καὶ τὴν τοῦ ἀνδρὸς φύσιν κρείττω, ἀσθενεστέραν δὲ τὴν τῆς γυναικός, ἀλλὰ καὶ τορῶς κηρύττει (35): «γυναῖκες μέν τοι πολλαὶ πολλῶν ἀνδρῶν βελτίους εἰς πολλά».

---

32) Νόμ. Ζ, 805 α.—Πρβ. Αὐτόθι, Ϛ, 781 α.

33) Κρατύλ. ΚΗ, 414 α.

34) Πολιτ. Ε, 453α «οὐχὶ ἡ αὐτή, ἀλλ' ἑτέρα φύσις γυναικός τε καὶ ἀνδρός».—Αὐτόθι, d «ὁμοίως διεσπαρμέναι αἱ φύσεις ἐν ἀμφοῖν τοῖν ζῴοιν καὶ πάντων μὲν μετέχει γυνὴ ἐπιτηδευμάτων κατὰ φύσιν, πάντων δὲ ἀνήρ, ἐπὶ πᾶσι δὲ ἀσθενέστερον γυνὴ ἀνδρός».—Αὐτόθι, 456α «Καὶ γυναικὸς ἄρα καὶ ἀνδρὸς ἡ αὐτὴ φύσις εἰς φυλακὴν πόλεως πλὴν ὅσα ἀσθενεστέρα ἢ ἰσχυροτέρα ἐστίν».—Νόμ. Ϛ, 781β «οὐ γὰρ ἥμισυ μόνον ἐστὶν ἂν τὸ περὶ τὰς γυναῖκας ἀκοσμήτως περιορώμενον, ὅσῳ δὲ ἡ θήλεια ἡμῖν φύσις ἐστὶ πρὸς ἀρετὴν χείρων τῆς τῶν ἀρρένων, τοσούτῳ διαφέρει πρὸς τὸ πλέον ἢ διπλάσιον εἶναι».—Τιμ. 42α-γ «Διπλῆς δὲ οὔσης τῆς ἀνθρωπίνης φύσεως τὸ κρεῖττον τοιοῦτον εἴη γένος, ὃ καὶ ἔπειτα κεκλήσοιτο ἀνήρ . . . καὶ ὁ μὲν εὖ τὸν προσήκοντα χρόνον βιούς, πάλιν εἰς τὴν ξυννόμου πορευθεὶς οἴκησιν ἄστρου, βίον εὐδαίμονα καὶ συνήθη ἕξοι· σφαλεὶς δὲ τούτων εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβαλοῖ, μὴ παυόμενός τε ἐν τούτοις ἔτι κακίας, τρόπον ὃν κακύνοιτο κατὰ τὴν ὁμοιότητα τῆς τοῦ τρόπου γενέσεως εἴς τινα τοιαύτην ἀεὶ μεταβαλοῖ θηρίου φύσιν».—Αὐτόθι, 90ε καὶ 91α «Τῶν γενομένων ἀνδρῶν ὅσοι δειλοὶ καὶ τὸν βίον ἀδίκως διῆλθον, κατὰ λόγον τὸν εἰκότα γυναῖκες μετεφύοντο ἐν τῇ δευτέρᾳ γενέσει. Καὶ κατ' ἐκεῖνον δὴ τὸν χρόνον διὰ ταῦτα θεοὶ τὸν τῆς ξυνουσίας ἔρωτα ἐτεκτήναντο, ζῷον τὸ μὲν ἐν ἡμῖν, τὸ δ' ἐν ταῖς γυναιξὶ συστήσαντες ἔμψυχον».

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἐντεῦθεν ὁρμώμενος καὶ θεωρῶν πρῶτον καὶ σπουδαιότατον τῆς πολιτείας ἔργον καὶ καθῆκον ὕψιστον τὴν τῶν πολιτῶν τροφὴν καὶ παιδείαν, οὐδὲν γὰρ χωρὶς ὀρθῆς παιδείας σώζει τὰ ἔθνη, ἀλλ' οἵα ἡ παιδεία τοιαύτη καὶ ἡ τύχη ἀνθρώπων τε καὶ ἐθνῶν καὶ πολιτειῶν, μεγίστην συνίστησι φροντίδα καὶ ἐπιμέλειαν περί τε τὴν σωματικὴν ῥώμην καὶ τὴν ψυχικὴν εὐεξίαν ἀρρένων τε καὶ θηλέων (36). Ἐπεὶ δὲ παιδεία ἐστὶν ἡ παίδων ὁλκή τε καὶ ἀγωγὴ πρὸς τὸν ὑπὸ τοῦ νόμου λόγον ὀρθὸν εἰρημένον καὶ τοῖς ἐπιεικεστάτοις καὶ πρεσβυτάτοις δι' ἐμπειρίαν συνδεδογμένον ὡς ὄντως ὀρθός ἐστιν, ἀρχὴ τῶν ἐν τῇ πόλει ἀκροτάτων ἀρχῶν πολὺ μεγίστη κρίνεται ὁ προκριθεὶς τῆς *παιδείας ἐπιμελητὴς* πάσης

---

36) Εὐθύφρ. 2d. — Πολιτ. Δ, 425 b. — Νόμ. Δ, 766a: «Ἄνθρωπος ἥμερον, ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὸν καὶ φύσεως εὐτυχοῦς, θειότατον ἡμερώτατόν τε ζῶον γίγνεσθαι φιλεῖ, μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν ἀγριώτατον ὁπόσα φύει γῆ. Ὧν ἕνεκα οὐ δεύτερον οὐδὲ πάρεργον τὴν παίδων τροφὴν τὸν νομοθέτην ἐᾶν γίγνεσθαι». — Περὶ τῆς κατὰ Πλάτωνα Παιδεύσεως καθόλου παράβαλε: *Baunard*-Quid apud Graecos de institutione puerorum senserit Plato. Orléans. 1860. — *L. Wittmann*-Erziehung und Unterricht bei Platon. Giessen. 1868. — *Karl Bernath*-Das paedagogische System Platons in seinen Hauptzügen. Jena. 1871. — Σπυρίδωνος Μωραΐτου-Ἡ κατὰ Πλάτωνα τροφὴ καὶ παιδεία. Ἐν Ἀθήναις. 1874. — *Paul Tannery*-L'éducation Platonicienne (Revue philosophique, Νοεμβρ. 1880, σελ. 517—530, Μαρτ. 1881, σελ. 283—299, Αὐγ. 1881, σελ. 151—168 καὶ Δεκ. 1881, σελ. 615—636. — *K. Schmidt*-Geschichte der Paedagogik. Τόμ. Α' 4' aufl. Cothen. 1890, σελ. 637—674. — *A. Mazarakis*-Die platoniche Paedagogik. Zürich. 1900.

Ε.Υ.Δ τη Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

θηλειῶν τε καὶ ἀρρένων (37). Πολιτεία δὲ καὶ παιδεία κατὰ Πλάτωνα ἀρρήκτως συνδέονται (38)· ὀρθὴν γὰρ παιδείαν προσαγορεύει μόνην τὴν πρὸς ἀρετὴν ἐκ παίδων παιδείαν, ποιοῦσαν ἐπιθυμητήν τε καὶ ἐραστὴν τοῦ πολίτην γενέσθαι τέλεον, ἄρχεσθαί τε καὶ ἄρχειν ἐπιστάμενον μετὰ δίκης, τὴν δὲ εἰς χρήματα τείνουσαν ἤ τινα πρὸς ἰσχὺν ἢ καὶ πρὸς ἄλλην τινὰ σοφίαν ἄνευ νοῦ καὶ δίκης βάναυσόν τ' εἶναι καὶ ἀνελεύθερον καὶ οὐκ ἀξίαν τὸ παράπαν παιδείαν (39).

Ἀλλ' ὁ θεῖος Πλάτων ἔν τε τῇ Πολιτείᾳ (40) καὶ τῷ Τιμαίῳ (41) σκοπούμενος καταστῆσαι τὴν πόλιν κοινὴν τοῖς πᾶσι τροφόν, ἀξιοῖ τοὺς πολίτας μὴ ἔχειν ἰδίας οἰκίας καὶ οὐσίας, ἀλλὰ κατὰ τὴν παροιμίαν ὅτι δεῖ πάντα ὅτι μάλιστα κοινὰ τὰ τῶν φίλων ποιεῖσθαι, κοινὰς καὶ τὰς οἰκίας καὶ γυναῖκας καὶ τὰ τέκνα καὶ τὰς χαρὰς καὶ τὰς λύπας, ἐπιλέγων (42) ἐν κεφαλαίοις. «Τοὺς οὕτω τραφέντας ἐλέχθη που μήτε χρυσὸν μήτε ἄργυρον μήτε ἄλλο ποτὲ μηδὲν κτῆμα ἑαυτῶν ἴδιον νομίζειν δεῖν, ἀλλ' ὡς ἐπικούρους μισθὸν λαμβάνοντας τῆς φυλακῆς παρὰ τῶν σωζομένων ὑπ' αὐτῶν, ὅσος σώφροσι μέτριος, ἀναλίσκειν τε δὴ κοινῇ καὶ ξυνδιαιτωμέ-

---

37) Νόμ. Β, 659 d. Ϛ, 765 d-e.

38) Μενέξ. 238 c «Πολιτεία γὰρ τροφὴ ἀνθρώπων ἐστί, καλὴ μὲν ἀγαθῶν, ἡ δ' ἐναντία κακῶν». — Νόμ. Ζ, 804 d «Πάντ' ἄνδρα καὶ παῖδα κατὰ τὸ δυνατόν, ὡς τῆς πόλεως μᾶλλον ἢ τῶν γεννητόρων ὄντας, παιδευτέον ἐξ ἀνάγκης». — Πρβ. καὶ Πολιτ. Δ, 423 d, 424 a.

39) Νόμ. Α, 643 e—644 a καὶ 653. — Πρβ. καὶ Μέν. 91 a.

40) Γ, 415. Δ, 419, 423, 425 κ. ἑ. Ε, 451—458.

41) Τιμ. 17—19.

42) Αὐτόθι, 18 b-e.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νους μετ' ἀλλήλων ζῆν, ἐπιμέλειαν ἔχοντας ἀρετῆς διὰ παντός.. Καὶ μὲν δὴ καὶ περὶ γυναικῶν ἐπεμνήσθημεν, ὡς τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας εἴη ξυναρμοστέον, καὶ τὰ ἐπιτηδεύματα πάντα κοινὰ κατά τε πόλεμον καὶ κατὰ τὴν ἄλλην δίαιταν δοτέον πάσαις. Τί δὲ δὴ τὸ περὶ τῆς παιδοποιίας; ἢ τοῦτο μὲν διὰ τὴν ἀήθειαν τῶν λεχθέντων εὐμνημόνευτον, ὅτι κοινὰ τὰ τῶν γάμων καὶ τὰ τῶν παίδων πᾶσιν ἁπάντων ἐτίθεμεν, μηχανωμένους, ὅπως μηδείς ποτε τὸ γεγενημένον αὐτῷ ἰδίᾳ γνώσοιτο, νομιοῦσι δὲ πάντες πάντας αὐτοὺς ὁμογενεῖς, ἀδελφὰς μὲν καὶ ἀδελφοὺς ὅσοι περ ἂν τῆς πρεπούσης ἐντὸς ἡλικίας γίγνωνται, τοὺς δ' ἔμπροσθεν καὶ ἄνωθεν γονέας τε καὶ γονέων προγόνους, τοὺς εἰς τὸ κάτωθεν ἐκγόνους παῖδάς τε ἐκγόνων. Ὅπως δὲ δὴ κατὰ δύναμιν εὐθὺς γίγνοιντο ὡς ἄριστοι τὰς φύσεις, ἆρ' οὐ μεμνήμεθα ὡς τοὺς ἄρχοντας ἔφαμεν καὶ τὰς ἀρχούσας δεῖν εἰς τὴν τῶν γάμων σύνερξιν λάθρᾳ μηχανᾶσθαι κλήροις τισίν, ὅπως οἱ κακοὶ χωρὶς οἵ τ' ἀγαθοὶ ταῖς ὁμοίαις ἑκάτεροι ξυλλήψονται, καὶ μή τις αὐτοῖς ἔχθρα διὰ ταῦτα γίγνηται, τύχην ἡγουμένους αἰτίαν τῆς ξυλλήψεως;»

Ἀλλ' ἐν τῷ μεγαλοπρεπεῖ Πλατωνικῷ ἔργῳ καὶ λογοτεχνικῷ ἀριστουργήματι, τῇ *Πολιτείᾳ*, πλεῖσται ἔνεισι παλαιαί τε καὶ ἀλλότριαι θεωρίαι (43), Ἀριστόξε-

---

43) Πρβ. Ἀθηναίου Δειπν. ΙΓ, 2 («Ἐν Ἀθήναις πρῶτος Κέκροψ μίαν ἑνὶ ἔζευξεν, ἀνέδην τὸ πρότερον οὐσῶν τῶν συνόδων καὶ κοινογαμίων ὄντων». Αὐτόθι ΙΒ, 14 «Θεόπομπος δ' ἐν τῇ μγ' τῶν Ἱστοριῶν καὶ νόμον εἶναι, φησί, παρὰ τοῖς Τυρρηνοῖς κοινὰς ὑπάρχειν

νος (44) δέ φησι «πᾶσαν σχεδὸν ἐν τοῖς τοῦ Πρωταγόρου γεγράφθαι ἀντιλογικοῖς», χαλεπὸν δὲ ὁρίσασθαι (45) ὁπόσας ὁ Πλάτων ἰδίας ἑαυτοῦ ἐξενήνοχε γνώμας ἐν τῇ Πολιτείᾳ. Αὐτὸς δ' οὗτος ἐν τοῖς *Νόμοις* σκέψεσι σοφωτέραις τῆς ἰδανικῆς ἀφιστάμενος πολιτείας καὶ τοῖς πράγμασι προσαρμοζόμενος, τὴν μὲν κοινότητα τῶν χρημάτων αἴρει (46) καὶ νόμῳ περιστέλλει τὴν τῆς κτήσεως ἐλευθερίαν ἀρκούμενος ὡρισμένῳ ἀριθμῷ τετταράκοντα καὶ πεντακισχιλίων κλήρων, ἀντὶ δὲ τῆς κοινότητος γυναικῶν καὶ παίδων τὰ κατὰ τὸν γάμον καὶ τὴν πόλιν ἐπιμελεστάτῃ καὶ ἀκριβεστάτῃ θεσπίζει νομοθεσίᾳ (47).

---

τὰς γυναῖκας· τρέφειν δὲ τοὺς Τυρρηνοὺς πάντα τὰ γινόμενα παιδία, οὐκ εἰδότας ὅτου πατρός ἐστιν ἑκάστου». Νικολάου ἐν Ι. Στοβαίου Ἐκλ. Γ' «Γαλακτοφάγοι σκυθικὸν ἔθνος ἄοικοί τε εἰσι. . κοινὰ ἔχοντες τά τε κτήματα καὶ τὰς γυναῖκας». Ἀριστ. Πολιτ. Β, δ, 1 «Φαλέας ὁ Χαλκηδόνιος τοῦτ' εἰσήνεγκε πρῶτος· φησὶ γὰρ δεῖν ἴσας εἶναι τὰς κτήσεις τῶν πολιτῶν». Ὡσαύτως ἴσαι ἦσαν αἱ κτήσεις καὶ παρὰ τοῖς Σπαρτιάταις (Πλουτ. Λυκ. 8 καὶ 12) καὶ ἡ Λακωνικὴ ἐφαίνετο πᾶσα πολλῶν ἀδελφῶν εἶναι. Παράβαλε δὲ καὶ τὰ περὶ γάμου τῶν Ἀμαζόνων (Στράβ. ΙΑ, 504).

44) Διογ. Λαερτ. Γ, 37.

45) Πρβ. W. Christ-Griech. Litteraturgeschichte. Μεταφρ. Α. Κώνστα, τόμ. Α' ἐν Ἀθήναις. 1900, σελ. 817, σημ. 1.

46) Νόμ. Ε, 739d.

47) Τὴν περὶ πολιτείας διδασκαλίαν τοῦ Πλάτωνος ὅρα ἐν E. Zeller-Die Philosophie der Griechen, αὐτόθι, σελ. 892—925. Περὶ δὲ τῶν Πλατωνικῶν ἔν τε τῇ Πολιτείᾳ καὶ τοῖς Νόμοις ἀπὸ κοινωνικῆς ὄψεως θεωριῶν ἔπιθι: *Rob. Poehlmann*-Geschichte des antiken Kommunismus und Sozialismus, τόμ. Α' München. 1893, σελ. 269—581.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΤΟΜΕΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## § Δ΄ ΤΑ ΚΑΤΑ ΤΟΝ ΓΑΜΟΝ

Κοινωνία δύο ὄντων τῆς τοῦ εἴδους διαιωνίσεως στοχαζομένων ἐστὶν ὁ συνήθης τοῦ γάμου ὅρος. *Ἐπιθυμίαν δ' ἀθανασίας* τοῦτον ὁ Πλάτων ὁριζόμενος(48), ἡ θνητὴ φύσις, λέγει, ζητεῖ κατὰ τὸ δυνατὸν ἀεί τ' εἶναι καὶ ἀθάνατος· δύναται δὲ ταύτῃ μόνον τῇ γενέσει, ὅτι ἀεὶ καταλείπει ἕτερον νέον ἀντὶ τοῦ παλαιοῦ· τὸ γὰρ γενέσθαι κλεινὸν καὶ μὴ ἀνώνυμον κεῖσθαι τετελευτηκότα τοῦ τοιούτου ἐστὶν ἐπιθυμία· καὶ διὰ τῆς παιδογονίας ἀθανασίαν καὶ μνήμην καὶ εὐδαιμονίαν, ὡς οἴονται ἄνθρωποι, αὐτοῖς εἰς τὸν ἔπειτα χρόνον πορίζονται. Διὸ καὶ ἑαυτῶν τὰ δύο φῦλα μεγάλα προνοοῦσι καὶ ὑπὲρ τῶν παίδων κινδύνους κινδυνεύουσι καὶ χρήματα ἕτοιμοί εἰσιν ἀναλίσκειν καὶ πόνους πονεῖν οὑστινασοῦν καὶ ὑπεραποθνήσκειν πολλάκις (49). Ἂν δέ, προσεπιλέγει (50), ἄρα τις μὴ πείθηται ἑκών, ἀλλότριον δὲ αὑτὸν καὶ ἀκοινώνητον ἐν τῇ πόλει ἔχῃ καὶ ἄγαμος ὢν γένηται πεντεκαιτριακοντούτης, ζημιούσθω κατ' ἐνιαυτὸν ἕκαστον, ὁ μέγιστον μὲν τίμημα κεκτημένος ἑκατὸν δραχμαῖς, ὁ δὲ τὸ δεύτερον ἑβδομήκοντα, τρίτον δὲ ἑξήκοντα, ὁ δὲ τὸ τέταρτον τριάκοντα· τοῦτο δ' ἔστω τῆς Ἥρας ἱερόν. Ὁ δὲ μὴ ἐκτίνων κατ' ἐνιαυτὸν δεκαπλάσιον ὀφειλέτω, πραττέσθω δὲ ὁ ταμίας τῆς θεοῦ, μὴ ἐκπράξας δὲ αὐτὸς ὀφειλέτω, καὶ ἐν ταῖς εὐθύναις τοῦ

48) Νόμ. Δ, 721b.—Συμπόσ. 207d.
49) Συμπόσ. 208e.
50) Νόμ. Ϛ, 774a—b. Πρβ. καὶ Δ, 721d.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοιούτου λόγου ὑπεχέτω πᾶς. Εἰς μὲν οὖν χρήματα ὁ μὴ θέλων γαμεῖν ταῦτα ζημιοῦται, τιμῆς δὲ παρὰ τῶν νεωτέρων ἄτιμος πάτης ἐστὶ καὶ μηδεὶς ὑπακούει αὐτῷ ἑκὼν τῶν νέων.

Ἵνα δ' ἀπὸ τῶν εἰς γάμου κοινωνίαν συναπτομένων ἐξέλῃ τὴν ἄγνοιαν, χάριν οἰκειότητος καὶ γνωρίσεως ἀλλήλων συνίστησι θυσιῶν συνόδους, καθ' ἃς (51) τῆς τοιαύτης σπουδῆς ἕνεκα χρὴ καὶ τὰς παιδιὰς ποιεῖσθαι κόρους καὶ κόρας χορεύοντάς τε καὶ χορευούσας καὶ ἅμα δὴ θεωροῦντάς τε καὶ θεωρουμένους μετὰ λόγου τε καὶ ἡλικίας τινὸς ἐχούσης εἰκυίας προφάσεις, γυμνοὺς καὶ γυμνὰς μέχριπερ αἰδοῦς σώφρονος ἑκάστων. Καὶ νομίζων (52) μέτριον χρόνον ἀκμῆς τὰ εἴκοσιν ἔτη τῇ γυναικί, ἀνδρὶ δὲ τὰ τριάκοντα, τάττει (53) γάμου ὅρον εἶναι κόρῃ μὲν ἀπὸ ἑκκαίδεκα ἐτῶν εἰς εἴκοσι, τὸν μακρότατον χρόνον ἀφωρισμένον, κόρῳ δὲ ἀπὸ τριάκοντα μέχρι τῶν πέντε καὶ τριάκοντα (54).

---

51) Νομ. Ϛ, 771d—772a.

52) Πολιτ. Ε, 460e. 53) Νομ. Ϛ, 785b.

54) Ζητεῖ ὁ Πλάτων μὴ παρὰ καιρὸν γίγνεσθαι τοὺς συνοικισμούς, ὅπως εὐφυεῖς καὶ εὐτυχεῖς γένωνται οἱ παῖδες (Πολιτ. Η, 546d). Καὶ ἐν Σπάρτῃ ὁ νομοθέτης ἔταξεν ἐν ἀκμαῖς τῶν σωμάτων τοὺς γάμους ποιεῖσθαι, ἵνα τὰ γεννώμενα ὦσιν ἰσχυρά (Ξενοφ. Πολιτ. Λακεδαιμ. Α, 6). Ὁ δὲ Ἀριστοτέλης (Πολιτ. Ζ, ιϛ, 3—6) φησίν: «Ἔστι δ' ὁ τῶν νέων συνδυασμὸς φαῦλος πρὸς τεκνοποιΐαν. Ἐν ὅσαις γὰρ τῶν πόλεων ἐπιχωριάζεται τὸ νέους συζευγνύναι καὶ νέας, ἀτελεῖς καὶ μικροὶ τὰ σώματά εἰσιν... Ἔτι δὲ καὶ πρὸς σωφροσύνην συμφέρει τὰς ἐκδόσεις ποιεῖσθαι πρεσβυτέραις· ἀκολαστότεραι γὰρ εἶναι δοκοῦσι νέαι χρησάμεναι ταῖς συνουσίαις... Διὸ τὰς μὲν ἁρμόττει περὶ τὴν τῶν ὀκτωκαίδεκα ἐτῶν ἡλικίαν συζευγνύναι, τοὺς δὲ ἑπτὰ καὶ τριά-

ΙΩΑΝΝΙΝΑ 2006

Ἀπὸ τῶν ἡρωικῶν χρόνων(55) φαίνεται τὸ τῆς προικὸς ἔθος· καὶ οἱ νόμοι Σπάρτης καὶ Ἀθηνῶν μνημονεύουσι τῶν κατ' αὐτὴν (56). Σόλων δὲ οὐ βουλόμενος μισθοφόρον, οὐδὲ ὤνιον εἶναι τὸν γάμον, ἀλλ' ἐπὶ τεκνώσει καὶ χάριτι καὶ φιλότητι γίγνεσθαι τὸν ἀνδρὸς καὶ γυναικὸς συνοικισμόν, ἐκέλευεν ἱμάτια τρία καὶ σκεύη μικροῦ ἄξια ἐπιφέρεσθαι τὴν νύμφην (57). Ἀλλὰ πολλάκις παρὰ τὸν νόμον τοῦτον ἐζητεῖτο προὶξ οὐκ ὀλίγη· διὸ δὴ ὁ ἡμέτερος φιλόσοφος παραινεῖ (58) εὐδόξους γάμους γαμεῖν μὴ φεύγοντας τὸν τῶν πενήτων, μηδὲ διώκοντας διαφερόντως τὸν τῶν πλουσίων (59)· ὁ γὰρ διὰ

---

κοντα ἢ μικρόν...». Πρβ. καὶ Ἡσίοδον (Ἔργ. καὶ Ἡμέρ. στ. 695—698).

55) Πρβ. Ἰλ. Ζ, 193. Ὀδ. Β, 133 καὶ Θ, 320.

56) Πρβ. Lallier — Αὐτόθι, εἰσαγωγὴν καὶ σελ. 19 κ. ἑ.—P. Gide, Αὐτόθι, σελ. 48 κ. ἑ.—Legouvé—Πανταζίδου, Αὐτόθι, σελ. 35—37 καὶ τὰς αὐτόθι παραπομπάς.

57) Πλουτ. Σόλ. Κ, 8.

58) Νόμ. ς', 773 a—e καὶ 774c.—Πρβ. καὶ Πολιτικ. 310 β.

59) Καὶ ὁ Χαιρωνεὺς (Περὶ παίδων ἀγωγῆς, 19) παραινῶν τοὺς γονεῖς ἐγγυᾶσθαι τοῖς υἱοῖς γυναῖκας μήτε εὐγενεστέρας πολλῷ, μήτε πλουσιωτέρας (τὸ γὰρ τὴν κατὰ σαυτὸν ἔλα σοφόν) ἐπάγει ὡς οἵγε μακρῷ κρείττους ἑαυτῶν λαμβάνοντες οὐ τῶν γυναικῶν ἄνδρες, τῶν δὲ προικῶν δοῦλοι λανθάνουσι γιγνόμενοι. Καὶ ἀλλαχοῦ (Γαμ. Παραγγέλματα, 22) τὴν γυναῖκα παραινεῖ δεῖν μὴ προικί, μηδὲ γένει, μηδὲ κάλλει πιστεύειν, ἀλλ' ἐν οἷς ἅπτεσθαι μάλιστα τοῦ ἀνδρός, ὁμιλίᾳ τε καὶ ἤθει καὶ συμπεριφορᾷ· καὶ ταῦτα εὐάρμοστα καὶ ἄλυπα καὶ προσφιλῆ παρέχειν. Ἰωάννης δὲ ὁ Χρυσορρήμων (ἐν τῷ εἰς Μάξιμον ἐγκωμίῳ, δ') κατὰ τῶν προῖκα ζητούντων λέγει «Ὁ μὲν εὔπορον λαβὼν γυναῖκα δέσποιναν μᾶλλον ἔλαβεν ἢ γυναῖκα, ὁ δὲ ὁμότιμον ἢ πενεστέραν λαβών, βοηθὸν καὶ σύμμαχον ἔλαβε καὶ πάντα εἰς τὴν οἰκίαν εἰσήγαγε τὰ ἀγαθά... Γυνὴ γὰρ σώφρων καὶ ἐπιεικὴς καὶ

Ε. Α. της Κ. Π
ΙΩΑΝΝΙΝΑ 2006

χρήματα γάμος ὕβρις μὲν γυναιξί, δουλεία δὲ ταπεινὴ καὶ ἀνελεύθερος τοῖς γήμασι γίγνοιτ' ἄν. Καὶ ὁ μὲν πειθόμενος ἓν τῶν καλῶν δρῴη τοῦτ' ἄν· ὁ δὲ μὴ πειθόμενος, ἢ διδοὺς ἢ λαμβάνων πλέον ἢ πεντήκοντα ἄξια δραχμῶν ἐσθῆτος, ὁ δὲ μνᾶς, ὁ δὲ τριῶν ἡμιμναίων, ὁ δὲ δυεῖν μναῖν, ὁ τὸ μέγιστον τίμημα κεκτημένος, ὀφειλέτω μὲν τῷ δημοσίῳ τοσοῦτον ἕτερον, τὸ δὲ δοθὲν ἢ ληφθὲν ἱερὸν ἔστω τῆς Ἥρας τε καὶ τοῦ Διός, πραττόντων δὲ οἱ ταμίαι τούτοιν τοῖν θεοῖν ἢ παρ' ἑαυτῶν ἑκάστους τὴν ζημίαν ἐκτίνειν. Ἐγγύην (60) δ' εἶναι κυρίαν πατρὸς μὲν πρῶτον, δευτέραν πάππου, τρίτην δὲ ἀδελφῶν ὁμοπατρίων· ἐὰν δὲ μηδὲ εἷς ᾖ τούτων, τὴν πρὸς μητρὸς μετὰ τοῦτο εἶναι κυρίαν ὡσαύτως· ἐὰν δ' ἄρα τύχῃ τις ἀήθης συμβαίνῃ, τοὺς ἐγγύτατα γένους ἀεὶ κυρίους εἶναι μετὰ τῶν ἐπιτρόπων (61).

Προσήκουσαι δὲ τελεταὶ καὶ ἱερουργίαι κατὰ τὸν γάμον νομοθετητέαι εἰσὶ καὶ ἑορταί τινες, ἐν αἷς συνάγομεν τάς τε νύμφας καὶ τοὺς νυμφίους, καὶ θυσίαι καὶ ὕμνοι ποιητέοι πρέποντες τοῖς γενομένοις γάμοις (62). Περὶ δὲ τῶν ἑστιάσεων φίλους μὲν χρὴ καὶ φίλας μὴ

---

μετρία, κἂν πένης ᾖ, τὴν πενίαν πλούτου βέλτιον διαθεῖναι δυνήσεται, ὥσπερ ἡ διεφθαρμένη καὶ ἀκόλαστος καὶ φίλερις, κἂν μυρίους εὕρῃ θησαυροὺς ἔνδον κειμένους, ἀνέμου παντὸς τάχιον ἐκφυσήσασα καὶ συμφοραῖς μυρίαις μετὰ τῆς πενίας περιβάλλει τὸν ἄνδρα.

60) Πρβ. περὶ ἐγγύης *G. Gilbert*—Handbuch der Griech. Staatsalterthümer, Μετάφρ. Ν. Γ. Πολίτου, ἐν Ἀθήναις, 1899, Τόμ. Α, σελ. 233 καὶ τὰς αὐτόθι παραπομπάς.

61) Νόμ. ς, 774d—e.

62) Νόμ. ς, 774 e. Πολιτ. Ε, 459e.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πλείους πέντε ἑκατέρων συγκαλεῖν, συγγενῶν δὲ καὶ οἰκείων ὡσαύτως τοσούτους ἄλλους ἑκατέρων· ἀνάλωμα δὲ μὴ γίγνεσθαι πλέον ἢ κατὰ τὴν οὐσίαν μηδενί, τῷ μὲν εἰς χρήματα μεγίστῳ μνᾶν, τῷ δ' ἥμισυ τοῦ τοσούτου, τῷ δ' ἐφεξῆς οὕτω, καθάπερ ὑποβέβηκεν ἑκάστῳ τὸ τίμημα. Καὶ τὸν μὲν πειθόμενον τῷ νόμῳ χρὴ πάντας ἐπαινεῖν, τὸν δὲ ἀπειθοῦντα κολαζόντων οἱ νομοφύλακες ὡς ἀπειρόκαλον ὄντα καὶ ἀπαίδευτον τῶν περὶ τὰς νυμφικὰς Μούσας νόμων (63).

Μετὰ ταῦτα πολλὰ παρέχει ὑγιεινὰ καὶ ἠθικὰ παραγγέλματα. Ῥητῶς ἀπαγορεύει τὴν μέθην καὶ παραινεῖ ἔμφρονα μάλιστα εἶναι νύμφην καὶ νυμφίον μεταβολὴν οὐ σμικρὰν βίου μεταλλάττοντας, ἅμα δὲ καὶ τὸ γεννώμενον ὅπως ὅτι μάλιστα ἐξ ἐμφρόνων ἀεὶ γίγνηται. Καὶ πρὸς τούτοις δεῖ μὴ τῶν σωμάτων διακεχυμένων ὑπὸ μέθης γίγνεσθαι τὴν παιδουργίαν, ἀλλ' εὐπαγὲς, ἀπλανὲς ἡσυχαῖόν τε ἐν μοίρᾳ συνίστασθαι τὸ φυόμενον· ὁ δὲ διῳνωμένος αὐτός τε φέρεται πάντῃ καὶ φέρει, λυττῶν κατά τε σῶμα καὶ ψυχήν. Σπείρειν οὖν παράφορος ἅμα καὶ κακὸς ὁ μεθύων, ὥστ' ἀνώμαλα καὶ ἄπιστα καὶ οὐδὲν εὐθύπορον ἦθος οὐδὲ σῶμα ἐκ τῶν εἰκότων γεννῴη ποτ' ἄν. Διὸ μᾶλλον μὲν ὅλον τὸν ἐνιαυτὸν καὶ βίον χρή, μάλιστα δὲ ὁπόσον ἂν γεννᾷ χρόνον, εὐλαβεῖσθαι καὶ μὴ πράττειν ὅσα νοσώδη ἑκόντα εἶναι μήτε ὅσα ὕβρεως ἢ ἀδικίας ἐχόμενα· εἰς γὰρ τῶν γεννωμένων ψυχὰς καὶ σώματα ἀναγκαῖον ἐξομοργνύμενον

---

63) Νόμ. ς, 775 a—c.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΚΔΟΣΕΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐκτυποῦσθαι καὶ τίκτειν πάντῃ φαυλότερα. Νομίσαντα δ' εἶναι χρὴ τὸν γαμοῦντα ταῖν οἰκίαιν ταῖν ἐν τῷ κλήρῳ τὴν ἑτέραν οἷον νεοττῶν ἐγγένησιν καὶ τροφήν, χωρισθέντα ἀπὸ μητρὸς καὶ πατρὸς καὶ τῶν τῆς γυναικὸς οἰκείων, τὸν γάμον ἐκεῖ ποιεῖσθαι καὶ τὴν οἴκησιν καὶ τὴν τροφὴν αὐτοῦ καὶ τῶν τέκνων, οἱονεὶ εἰς ἀποικίαν ἀφικομένους αὐτοὺς οἰκεῖν, ἐπισκοποῦντάς τε ἅμα καὶ ἐπισκοπουμένους, γεννῶντας τε καὶ ἐκτρέφοντας παῖδας, καθάπερ λαμπάδα τὸν βίον παραδιδόντας ἄλλοις ἐξ ἄλλων, θεραπεύοντας ἀεὶ θεοὺς κατὰ νόμους(64).

---

## § Ε΄ Η ΠΡΩΤΗ ΤΡΟΦΗ ΚΑΙ ΠΑΙΔΕΙΑ

Τὰς δὲ φερούσας ἐν γαστρὶ μάλιστα πασῶν τῶν γυναικῶν δεῖν θεραπεύειν παραινεῖ ἐκεῖνον τὸν ἐνιαυτόν, ὅπως μήτε ἡδοναῖς τισι πολλαῖς ἅμα καὶ μάργοις προσχρῆται ἡ κύουσα μήτε αὖ λύπαις, τὸ δὲ ἵλεων καὶ εὐμενὲς πρᾷόν τε τιμῶσα διαζήσει τὸν τότε χρόνον(65). Καὶ τίθησι νόμον τὴν κύουσαν περιπατεῖν, τὸ δὲ γενόμενον πλάττειν τε οἷον κήρινον, ἕως ὑγρόν, καὶ μέχρι δυοῖν ἐτοῖν σπαργανᾶν καὶ τὰς τροφοὺς τὰ παιδία ἢ πρὸς ἀγροὺς ἢ πρὸς ἱερὰ ἢ πρὸς οἰκείους ἀεί πῃ φέρειν, μέχρι περ ἂν ἱκανῶς ἵστασθαι δυνατὰ γίγνηται καὶ τότε διευλαβουμένας, ἔτι νέων ὄντων μή πῃ βίᾳ ἐπερειδομένων στρέφηται τὰ κῶλα, ἐπιπονεῖν φερούσας, ἕως ἂν τριέτες ἀποτελεσθῇ τὸ γενόμενον(66). Συμφέρει δὲ ἡ κίνησις οὐ

---

64) Νόμ. ϛ, 775 c—e καὶ 776 a—b. — 65) Νόμ. Ζ, 792e.
66) Νόμ. Ζ, 789 e. Πρβ. καὶ 790c—d.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΔΩΡΟΥ
Εργ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μόνον τῷ σώματι, ἀλλὰ καὶ τῇ ψυχῇ· ὃ δή, φησί, καὶ ἐξ ἐμπειρίας λαβοῦσαι αἱ μητέρες καὶ τροφοί, ἡνίκ' ἂν βουληθῶσι κατακοιμίζειν τὰ δυσυπνοῦντα, οὐχ ἡσυχίαν αὐτοῖς προσφέρουσιν, ἀλλὰ κίνησιν καὶ οὐ σιγήν, ἀλλά τινα μελῳδίαν· κρατεῖ γὰρ ἡ τοῦ ἔξωθεν κίνησις καὶ ἀπεργάζεται γαλήνην καὶ ἡσυχίαν ἐν τῇ ψυχῇ. Καθόλου δὲ πάντα δεῖ τὰ περὶ τὴν τιθήνησιν τῶν γενομένων ποιεῖν(67) καὶ διανοεῖσθαι ὡς ὅτι καλλίστους καὶ ἀρίστους εἰς δύναμιν ἀποδειξομένους παῖδας τῇ πόλει(68).

Εἰς μὲν τοίνυν τὴν τοῦ τρί' ἔτη γεγονότος ἡλικίαν κόρου καὶ κόρης ταῦτα, ὅσα νόμιμα καὶ ἐθίσματα, εἴ τις ἀκριβῶς ἀποτελοῖ καὶ μὴ παρέργως χρῷτο, οὐ σμικρὰ εἰς ὠφελίαν γίγνοιτ' ἂν τοῖς νεωστὶ τρεφομένοις. Ἐνταῦθα δὲ γενόμενος ὁ δαιμόνιος ἀνὴρ νομοθετεῖ παιδιαγωγεῖα τοιαῦτα, οἷα μόλις πρὸ ἑξηκονταετίας τὸ πρῶτον ἱδρύσατο ὁ πολὺς Φροίβελος *παιδιακοὺς κήπους* (Kindergärten) ταῦτα καλέσας, τήν τε μεγίστην παιδαγωγικὴν τῶν παιδιῶν ἀξίαν ἀνομολογῶν καὶ τὴν γυναῖκα προκρίνων ἐπιτηδειοτάτην περὶ τὴν τῆς πρώτης ἡλικίας παίδευσιν(69). Τριετεῖ δὲ δή, φησί, καὶ τετραετεῖ καὶ πενταετεῖ καὶ ἔτι ἑξετεῖ ἤθει ψυχῆς παιδιῶν δέον ἂν εἴη· παιδιαὶ δ' εἰσὶ τοῖς τηλικούτοις αὐτοφυεῖς τινες, ἃς ἐπειδὰν συνέλθωσιν αὐτοὶ σχεδὸν ἀνευρίσκουσιν. Διατάττει δὲ συνιέναι ὁμοῦ εἰς τὰ κατὰ κώ-

67) Νόμ. Ζ, 790 d—e, 791 c—d, 792 d—e.
68) Νόμ. Ζ, 788 d—e.
69) Νόμ. Ζ, 793e καὶ 794 a—d.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μας ἱερὰ δεῖν πάντα ἤδη τὰ τηλικαῦτα παιδία ἀπὸ τριετοῦς μέχρι ἓξ ἐτῶν, κοινῇ τὰ τῶν κωμητῶν εἰς ταὐτὸν ἕκαστα, τὰς δὲ τροφοὺς ἔτι τῶν τηλικούτων κοσμιότητός τε καὶ ἀκολασίας ἐπιμελεῖσθαι· τῶν δὲ τροφῶν αὐτῶν καὶ τῆς ἀγέλης συμπάσης τῶν δώδεκα γυναικῶν μίαν ἐφ' ἑκάστῃ τετάχθαι κοσμοῦσαν κατ' ἐνιαυτὸν τῶν προειρημένων, ἃς ἂν τάξωσιν οἱ νομοφύλακες· ἡ δὲ καταστᾶσα ἀργέτω φοιτῶσα εἰς τὸ ἱερὸν ἑκάστης ἡμέρας καὶ κολάζουσα ἀεὶ τὸν ἀδικοῦντα. Μετὰ δὲ τὸν ἑξέτη καὶ τὴν ἑξέτιν διακρινέσθω ἤδη τὸ γένος ἑκατέρων· κόροι μὲν μετὰ κόρων, παρθένοι δὲ ὡσαύτως μετ' ἀλλήλων τὴν διατριβὴν ποιείσθωσαν· πρὸς δὲ τὰ μαθήματα τρέπεσθαι χρεὼν ἑκατέρους, τοὺς μὲν ἄρρενας ἐφ' ἵππων διδασκάλους καὶ τόξων καὶ ἀκοντίων καὶ σφενδονήσεως, ἐὰν δέ πῃ συγχωρῶσι, μέχρι γε μαθήσεως καὶ τὰ θήλεα, καὶ δὴ τά γε μάλιστα πρὸς τὴν τῶν ὅπλων χρείαν.

---

## § ΣΤ΄ ΔΕΙ ΤΗΝ ΓΥΝΑΙΚΑ ΤΩΝ ΑΥΤΩΝ ΜΕΤΕΧΕΙΝ ΠΑΙΔΕΥΜΑΤΩΝ ΚΑΙ ΤΑ ΑΥΤΑ ΑΣΚΕΙΝ

Ἵνα δὲ δείξῃ ὁ σπουδαιότατα παιδαγωγικὰ δόγματα παρέχων ἡμῖν φιλόσοφος ὅτι δύναται καὶ ἡ γυνή, προσηκόντως ἀσκουμένη, τῶν αὐτῶν μετέχειν παιδευμάτων, πάμπολλα φέρει παραδείγματα, μάλιστα δὲ τὸ τῶν μελῶν δεξιὸν καὶ τὸ ἀριστερὸν (70)· τά γε γὰρ

70) Νόμ. Ζ, 794 d—795 d.

Ε.Υ.Δ.τ.Φ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

περὶ πόδας τε καὶ τὰ κάτω τῶν μελῶν οὐδὲν διαφέροντα εἰς τοὺς πόνους φαίνεται, τὰ δὲ κατὰ χεῖρας ἀνοίᾳ τροφῶν καὶ μητέρων οἷον χωλοὶ γεγόναμεν ἕκαστοι. Τῆς φύσεως γὰρ ἑκατέρων τῶν μελῶν σχεδὸν ἰσορροπούσης αὐτοὶ διὰ τὰ ἔθη διάφορα αὐτὰ πεποιήκαμεν οὐκ ὀρθῶς χρώμενοι. Διαφέρει δὲ πάμπολυ μαθὼν μὴ μαθόντος καὶ ὁ γυμνασάμενος τοῦ μὴ γεγυμνασμένου. Καθάπερ γὰρ ὁ τελέως παγκράτιον ἠσκηκὼς ἢ πυγμὴν ἢ πάλην οὐκ ἀπὸ μὲν τῶν ἀριστερῶν ἀδύνατός ἐστι μάχεσθαι, χωλαίνει δὲ καὶ ἐφέλκεται πλημμελῶν, ὁπόταν αὐτόν τις μεταβιβάζων ἐπὶ θάτερα ἀναγκάζῃ διαπονεῖν, ταὐτὸν δὴ τοῦτ᾽ οἴεται, καὶ ἐν ὅπλοις καὶ ἐν τοῖς ἄλλοις πᾶσι χρὴ προσδοκᾶν ὀρθόν, ὅτι τὸν διττὰ δεῖ κεκτημένον, οἷς ἀμύνοιτ᾽ ἂν καὶ ἐπιτιθεῖτο ἄλλοις, μηδὲν ἀργὸν τούτων μηδὲ ἀνεπιστῆμον ἐᾶν εἶναι κατὰ δύναμιν. Τούτων δὴ πάντων τὴν ἐπιμέλειαν ἀρχούσαις τε καὶ ἄρχουσι δεῖ γίγνεσθαι, ταῖς μὲν ἐν παιδιαῖς τε καὶ τροφαῖς ἐπισκόποις γιγνομέναις, τοῖς δὲ περὶ μαθήματα, ὅπως ἀρτίποδές καὶ ἀρτίχειρες πάντες τε καὶ πᾶσαι γιγνόμενοι μηδὲν τοῖς ἔθεσιν ἀποβλάπτωσι τὰς φύσεις εἰς τὸ δυνατόν.

Παραδεχόμενος δ᾽ ὁ Πλάτων δύο ἐν τῷ ἀνθρώπῳ φύσεις, σωματικὴν καὶ ψυχικὴν (71) *διττὰ* καὶ τὰ μαθήματα (72) ὁρίζεται, τὰ μὲν ὅσα περὶ τὸ σῶμα,

71) Περὶ τῆς Πλατωνικῆς ψυχῆς ἔπιθι E. Zeller, Αὐτόθι, σελ. 817 κ. ἑ. καὶ 813—863, καὶ Χ. Παπαμάρκου. Περὶ τῶν τριττῶν εἰδῶν τῆς ψυχῆς παρὰ Πλάτωνι. Ἐν Λειψίᾳ 1875.

72) Οἱ ἐν Ἀθήναις περὶ τὴν τοῦ γενομένου τροφήν τε καὶ παιδείαν

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ. Δήμος Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

*γυμναστικῆς*, τὰ δ' εὐψυχίας χάριν, *μουσικῆς*. Τὰ δὲ γυμναστικῆς αὖ δύο, τὸ μὲν *ὄρχησις*, τὸ δὲ *πάλη*. Τῆς ὀρχήσεως δὲ ἄλλη μὲν μούσης λέξιν μιμουμένων, τό τε μεγαλοπρεπὲς φυλάττοντας ἅμα καὶ ἐλεύθερον, ἄλλη δὲ εὐεξίας ἐλαφρότητός τε ἕνεκα καὶ κάλλους τῶν τοῦ σώματος αὐτοῦ μελῶν καὶ μερῶν, τὸ προσῆκον καμπῆς τε καὶ ἐκτάσεως καὶ ἀποδιδομένης ἑκάστοις αὐτοῖς αὐτῶν εὐρύθμου κινήσεως, διασπειρομένης ἅμα καὶ συνακολουθούσης εἰς πᾶσαν τὴν ὄρχησιν ἱκανῶς. Καὶ τὰ ἀπ' ὀρθῆς πάλης ἀπ' αὐχένων καὶ πλευρῶν ἐξειλήσεως μετὰ φιλονικίας τε καὶ καταστάσεως διαπονούμενα μετ' εὐσχήμονος ῥώμης τε καὶ ὑγιείας ἕνεκα, τὰ *ἐγκάλπια* μάλιστα παίγνια, ταῦτα εἰς πάντα ὄντα χρήσιμα οὐ παρετέον, οὐδ' ὅσα ἐν τοῖς χοροῖς ἐστιν αὖ μιμήματα προσήκοντα. Ἃ δὴ πάντως μιμεῖσθαι πρέπον ἂν εἴη κόρους τε ἅμα καὶ κόρας, πολέμου τ' ἐν χρείᾳ καὶ ἑορτῶν ἕνεκα (73). Ἅπασαν δέ, φησί (74), μηχανητέον μηχανήν, ὅπως ἂν ἡμῖν οἱ παῖδες μήτε ἐπιθυμῶσιν ἄλλων μιμημάτων ἅπτεσθαι κατὰ ὀρχήσεις ἢ κατὰ μελῳδίας, μήτε τις αὐτοὺς πείσῃ προσάγων παντοίας ἡδονάς. Εὐφημίαι δὲ καὶ εὐχαὶ τοῖς θεοῖς καὶ ὕμνοι καὶ ἐγκώμια περί τε θεοὺς καὶ περὶ δαίμονας καὶ ἥρωας πρέποντά εἰσι τὰ περὶ τὴν μουσικὴν

---

τεταγμένοι νόμοι παρήγγελλον τῷ πατρὶ ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν τοὺς παῖδας (Πλάτ. Κρίτ. 50d). Πλάτων δὲ ἡγεῖται χαλεπὸν εὑρεῖν βελτίω τῆς ὑπὸ τοῦ πολλοῦ χρόνου εὑρημένης παιδείας. «Ἔστι δέπου ἡ μὲν ἐπὶ σώμασι γυμναστική, ἡ δ' ἐπὶ ψυχῇ μουσική» (Πολιτ. Β, 376e).

73) Νόμ. Ζ, 795d—796c. — 74) Νόμ, Ζ, 798e.

τοῦ νομοθέτου βουλήματα. Μετά γε μὴν ταῦτα, τῶν πολιτῶν ὁπόσοι τέλος ἔχοιεν τοῦ βίου κατὰ σώματα ἢ κατὰ ψυχὰς ἔργα ἐξειργασμένοι καλὰ καὶ ἐπίπονα καὶ τοῖς νόμοις εὐπειθεῖς γεγονότες ἐγκωμίων αὐτοὺς τυγχάνειν πρέπον ἂν εἴη. Ταῦτα δὲ πάντα ἔστω κοινὰ ἀνδράσι τε καὶ γυναιξὶν ἀγαθοῖς καὶ ἀγαθαῖς διαφανῶς γενομένοις. (75). Ἔτι δε θηλείαις τε πρεπούσας ᾠδὰς ἄρρεσί τε χωρίζει τύπῳ τινὶ διορισάμενος, καὶ ἁρμονίαις δὴ καὶ ῥυθμοῖς προςαρμόττει. Τὸ μὲν δὴ μεγαλοπρεπὲς καὶ τὸ πρὸς τὴν ἀνδρείαν ῥέπον ἀρρενωπὸν καλῶν, ἄρρεσι, τὸ δὲ πρὸς τὸ κόσμιον καὶ σῶφρον μᾶλλον ἀποκλῖνον θηλυγενέστερον ὄν, θηλείαις ἀποδίδωσιν (76).

Ἑξῆς δὲ τούτοις οἰκοδομίαι μὲν εἴρηνται γυμνασίων ἅμα καὶ διδασκαλείων κοινῶν τριχῇ κατὰ μέσην τὴν πόλιν, ἔξωθεν δὲ ἵππων αὖ τριχῇ περὶ τὸ ἄστυ γυμνάσιά τε καὶ εὐρυχωρία τοξικῆς τε καὶ τῶν ἄλλων ἀκροβολισμῶν ἕνεκα διακεκοσμημένα μαθήσεώς τε ἅμα καὶ μελέτης τῶν νέων. Ἐν δὲ τούτοις πᾶσι διδασκάλους ἑκάστων πεπεισμένους μισθοῖς οἰκοῦντας διδάσκειν τε πάντα ὅσα πρὸς τὸν πόλεμόν ἐστι μαθήματα τοὺς φοιτῶντας ὅσα τε πρὸς μουσικήν. (77). «Τὰ αὐτὰ δὲ δή, φησί (78), καὶ περὶ θηλειῶν ὁ μὲν ἐμὸς νόμος ἂν εἴποι πάντα, ὅσα περ καὶ περὶ τῶν ἀρρένων, ἴσα καὶ τὰς θηλείας ἀσκεῖν δεῖν· καὶ οὐδὲν φοβηθεὶς εἴποιμ' ἂν τοῦτον τὸν λόγον οὔτε ἱππικῆς οὔτε γυμναστικῆς, ὡς ἀν-

75) Νόμ. Ζ, 799a—802d.— 76) Νόμ. Ζ, 802d-e.
77) Νόμ. Ζ, 804c-d.— 78) Νόμ. Ζ, 804d—805c.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΒΟΗΘΗΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δράσι πρέπον ἂν εἴη, γυναιξὶ δὲ οὐκ ἂν πρέπον». Ἀκούων γὰρ δὴ μύθους παλαιοὺς πέπεισται· οἶδε δὲ ὅτι μυριάδες ἀναρίθμητοι γυναικῶν εἰσι τῶν πρὸς τον Πόντον, ἃς Σαυρομάτιδας καλοῦσιν, αἷς οὐχ ἵππων μόνων ἀλλὰ καὶ τόξων καὶ τῶν ἄλλων ὅπλων κοινωνία καὶ τοῖς ἀνδράσιν ἴση προςτεταγμένη ἴσως ἀσκεῖται. Καὶ διακελεύεται ἐν τούτοις ὡς δὴ παιδείας τε καὶ τῶν ἄλλων ὅτι μάλιστα κοινωνεῖν τὸ θῆλυ γένος ἡμῖν τῷ τῶν ἀρρένων γένει.

Ἰσχυρίζεται δὲ ὡς δυνατὴ φύσις ἡ θήλεια τῇ τοῦ ἄρρενος γένους κοινωνῆσαι εἰς ἅπαντα τὰ ἔργα (79) καὶ *πάντων μὲν μετέχει γυνὴ ἐπιτηδευμάτων* κατὰ φύσιν, πάντων δὲ ἀνήρ. Ἀλλ' ἐν ἅπασι πολὺ κρατεῖται, ὡς ἔπος εἰπεῖν, τὸ γένος τοῦ γένους. Οὐδὲν ἄρα ἐστὶν ἐπιτήδευμα τῶν πόλιν διοικούντων γυναικὸς διότι γυνή, οὐδ' ἀνδρὸς διότι ἀνήρ, ἀλλ' ὁμοίως διεσπαρμέναι αἱ φύσεις ἐν ἀμφοῖν τοῖν ζῴοιν. Καὶ ὡς ἔστιν ἀνήρ, ὁ μὲν εὐφυὴς πρός τι, ὁ δὲ ἀφυής, ἔστι καὶ γυνὴ ἰατρική, ἡ δ' οὔ, καὶ μουσική, ἡ δ' ἄμουσος φύσει, γυμναστικὴ δὲ καὶ πολεμική, ἡ δὲ ἀπόλεμος καὶ οὐ φιλογυμναστική, φιλόσοφός τε καὶ μισόσοφος, καὶ θυμοειδής, ἡ δ' ἄθυμος καὶ φυλακικὴ γυνή, ἡ δ' οὔ (80). Διὸ δὴ καὶ μετὰ θάρρους διακελεύεται, ὅσα περ καὶ περὶ τῶν ἀρρένων, ἴσα καὶ τὰς θηλείας ἀσκεῖν δεῖν. Ὅταν γὰρ μή, λέγει (81), μετέχωσιν ἀνδράσι γυναῖκες κοινῇ τῆς ζωῆς πάσης,

---

79) Πολιτ. Ε, 451c—455a. Νόμ. ς, 781d.

80) Πολιτ. Ε, 455b—457a. 81) Νόμ. Ζ, 805 d—806 p.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΡΓ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τίνα ἑτέραν τάξιν ἡμεῖς αὐταῖς προστάξομεν ; Πότερον ἣν Θρᾷκες ταῖς γυναιξὶ χρῶνται καὶ πολλὰ ἕτερα γένη, γεωργεῖν τε καὶ βουκολεῖν καὶ ποιμαίνειν καὶ διακονεῖν μηδὲν διαφερόντως τῶν δούλων ; ἢ τό γε δὴ παρ' ἡμῖν ὧδε περὶ τούτων γιγνόμενον ; εἴς τινα μίαν οἴκησιν συμφορήσαντες τὸ λεγόμενον πάντα παρέδομεν ταῖς γυναιξὶ διαταμιεύειν τε καὶ κερκίδων ἄρχειν καὶ πάσης ταλασίας, ἢ τὸ τούτων δὴ διὰ μέσου, τὸ λακωνικόν ; κόρας μὲν γυμνασίων μετόχους οὔσας ἅμα καὶ μουσικῆς ζῆν δεῖν, γυναῖκας δὲ ἀργοὺς μὲν ταλασίας, ἀσκητικὸν δέ τινα βίον καὶ οὐδαμῶς φαῦλον οὐδ' εὐτελῆ διαπλέκειν, θεραπείας δὲ καὶ ταμιείας αὖ καὶ παιδοτροφίας εἴς τι μέσον ἀφικνεῖσθαι, τῶν δ' εἰς τὸν πόλεμον μὴ κοινωνούσας, ὥστε οὐδ' εἴ τίς ποτε διαμάχεσθαι περὶ πόλεώς τε καὶ παίδων ἀναγκαία τύχη γίγνοιτο, οὔτ' ἂν τόξων, οὔτ' ἄλλης κοινωνῆσαί ποτε βολῆς μετὰ τέχνης δυναμέναι οὐδὲ ἀσπίδα καὶ δόρυ λαβοῦσαι μιμήσασθαι τὴν θεόν, ὡς πορθουμένης αὐταῖς τῆς πατρίδος γενναίως ἀντιστάσας φόβον γε, εἰ μηδὲν μεῖζον πολεμίοις δύνασθαι παρασχεῖν ἐν τάξει τινὶ κατοφθείσας. «Ταῦτ' οὖν, προστίθησι (82), ὑμῶν τοὺς νομοθέτας ὁ μὲν βουλόμενος ἐπαινεῖν ἐπαινείτω· τὸ δ' ἐμὸν οὐκ ἂν ἄλλως λεχθείη· τέλεον γὰρ καὶ οὐ διήμισυν δεῖν τὸν νομοθέτην εἶναι, τὸ θῆλυ μὲν ἀφιέντα τρυφᾶν καὶ ἀναλίσκειν διαίταις ἀτάκτοις χρώμενον, τοῦ δ' ἄρρενος ἐπιμεληθέντα τελέως σχεδὸν εὐδαίμονος ἥμισυ βίου κατα-

82) Νόμ. Ζ, 806c.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λείπειν ἀντὶ διπλασίου τῇ πόλει». Οὐκοῦν νόμον τίθησι μὴ ἀμελεῖσθαι τὰ περὶ τὸν πόλεμον γυναιξὶ δεῖν, ἐπιμελεῖσθαι δὲ πάντας τοὺς πολίτας καὶ τὰς πολίτιδας. Καὶ γυμνάσια τίθησι καὶ τὰ περὶ τὸν πόλεμον ἅπαντα τοῖς σώμασι διαπονήματα τοξικῆς τε καὶ πάσης ῥίψεως καὶ πελταστικῆς τε καὶ πάσης ὁπλομαχίας καὶ διεξόδων τακτικῶν καὶ στρατοπεδεύσεων καὶ ὅσα εἰς ἱππικὴν μαθήματα συντείνει· πάντων γὰρ τούτων διδασκάλους τε εἶναι δεῖ κοινούς, ἀρνυμένους μισθὸν παρὰ τῆς πόλεως, καὶ τούτων μαθητὰς τοὺς ἐν τῇ πόλει παῖδάς τε καὶ ἄνδρας, καὶ κόρας καὶ γυναῖκας πάντων τούτων ἐπιστήμονας, κόρας μὲν οὔσας ἔτι πᾶσαν τὴν ἐν ὅπλοις ὄρχησιν(83) καὶ μάχην μεμελετηκυίας, γυναῖκας δὲ διεξόδων καὶ τάξεων καὶ θέσεως καὶ ἀναιρέσεως ὅπλων ἡμμένας, εἰ μηδενὸς ἕνεκα, ἀλλ' εἴ ποτε δεήσειε πανδημεὶ πάσῃ τῇ δυνάμει καταλείποντας τὴν πόλιν ἔξω στρατεύεσθαι, τοὺς φυλάξοντας παῖδάς τε καὶ τὴν ἄλλην πόλιν ἱκανοὺς εἶναι τό γε τοσοῦτον, ἔξωθεν πολεμίους εἰςπεσόντας ῥώμῃ τινὶ μεγάλῃ καὶ βίᾳ, ἀνάγκην παρασχεῖν περὶ αὐτῆς τῆς πόλεως τὴν διαμάχην γίγνεσθαι· πολλὴ γάρ που κακία πολιτείας οὕτως αἰσχρῶς τὰς γυναῖκας εἶναι τεθραμμένας, ὡς μηδ' ὥσπερ ὄρνιθας περὶ τέκνων μαχομένας πρὸς ὁτιοῦν τῶν ἰσχυροτάτων θηρίων ἐθέλειν ἀποθνήσκειν τε καὶ πάντας κινδύνους κινδυνεύειν, ἀλλ' εὐθὺς πρὸς ἱερὰ φερομένας

83) Καὶ δύο δὴ τῶν ὀρχήσεων τῶν καλῶν εἴδη κατεστήσατο, τὸ μὲν πολεμικὸν πυρρίχην, τὸ δὲ εἰρηνικὸν ἐμμέλειαν (Νόμ. Ζ, 814d—816).

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ.Π.Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

πάντας βωμούς τε καὶ ναοὺς ἐμπιπλάναι καὶ δόξαν τοῦ τῶν ἀνθρώπων γένους καταχεῖν, ὡς πάντων δειλότατον φύσει θηρίων ἐστίν(84).

---

## § Ζ΄ ΠΕΡΙ ΕΔΩΔΗΣ ΚΑΙ ΠΟΣΕΩΣ ΚΑΙ ΣΩΦΡΟΣΥΝΗΣ ΠΑΡΑΓΓΕΛΜΑΤΑ

Τὰ δὴ μετὰ ταῦτα πειρώμενος φράζειν ἐν πόλει διαφερούσῃ τῶν πολλῶν ἐσομένῃ, τίνα χρὴ τρόπον ζῆν τὰ ἴδια πράττοντας, ἐξουσίαν δὲ ἑκάστοις μὴ εἶναι τὴν ἡμέραν ζῆν ὅπως ἂν ἐθέλῃ καὶ πάντα διὰ τάξεως δεῖν

---

84) Νόμ. Ζ, 813d—814 c.—Οὕτω δὴ καθόλου ὁ φιλόσοφος τὰ περὶ τὸν πόλεμον γυναιξὶ μὴ ἀμελεῖσθαι δεῖν διακελευόμενος, ὁρίζεται ἑξῆς ποικίλα γυμνάσια καὶ ἀθλήματα, χορούς τε καὶ ἀγῶνας μουσικούς, τοὺς δὲ γυμνικούς, γυναικείας τε ἑορτὰς καὶ ἆθλα νικητήρια. Νόμ. Η, 828c «Δώδεκα μὲν ἑορτὰς εἶναι τοῖς δώδεκα θεοῖς, ὧν ἂν ἡ φυλὴ ἑκάστη ἐπώνυμος ᾖ.. χορούς τε καὶ ἀγῶνας μουσικούς, τοὺς δὲ γυμνικούς.. γυναικείας τε ἑορτὰς ὅσας χωρὶς ἀνδρῶν προσήκει καὶ ὅσας μή.».—829b-c «Δεῖ τοίνυν πόλιν ἑκάστου μηνὸς νοῦν κεκτημένην στρατεύεσθαι μὴ ἔλαττον μιᾶς ἡμέρας, πλείους δέ, ὡς ἂν καὶ τοῖς ἄρχουσι ξυνδοκῇ, μηδὲν χειμῶνας ἢ καύματα διευλαβουμένους, αὐτούς τε ἅμα καὶ γυναῖκας καὶ παῖδας καὶ κατὰ μέρη καί τινας ἀεὶ παιδιὰς μηχανᾶσθαι καλὰς ἅμα θυσίαις, ὅπως ἂν γίγνωνται μάχαι τινὲς ἑορταστικαί.. Νικητήρια δὲ καὶ ἀριστεῖα ἑκάστους τούτων δεῖ διανέμειν ἐγκώμιά τε καὶ ψόγους ποιεῖν ἀλλήλοις.. Τὰ αὐτὰ δὲ λέγω στρατείας τε πέρι καὶ τῆς ἐν ποιήσεσι παρρησίας γυναιξί τε καὶ ἀνδράσιν ὁμοίως γίγνεσθαι δεῖν».— 833c-d «Τριττὰ ἀθλήματα, ἓν μὲν παιδικόν, ἓν δὲ ἀγενείων, ἓν δὲ ἀνδρῶν. Γυναιξὶ δέ, κόραις μὲν ἀνήβοις γυμναῖς στάδιον καὶ δίαυλον καὶ ἐφίππιον καὶ δόλιχον, ἐν αὐτῷ τῷ δρόμῳ ἁμιλλωμέναις, ταῖς δὲ τριακαιδεκέτεσι μέχρι γάμου μενούσης κοινωνίας, μὴ μακρότερον εἴκοσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Δ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γίγνεσθαι, φησὶ δεῖν ἐν συσσιτίοις πάντας καὶ πάσας τὴν δίαιταν ποιεῖσθαι. Συσσίτια δ' εἴη κατεσκευασμένα χωρὶς μὲν τὰ τῶν ἀνδρῶν, ἐγγὺς δ' ἐχόμενα τὰ τῶν αὐτοῖς οἰκείων, παίδων τε ἅμα θηλειῶν καὶ τῶν μητέρων αὐταῖς, ἄρχουσι δὲ καὶ ἀρχούσαις εἴη προστεταγ-

---

ἐτῶν μηδ' ἔλαττον ὀκτωκαίδεκα· πρεπούσῃ δὲ στολῇ ταύτας ἐσταλμένας καταβατέον ἐπὶ τὴν ἅμιλλαν τούτων τῶν δρόμων. Καὶ τὰ μὲν περὶ δρόμου ἀνδράσι τε καὶ γυναιξὶ ταῦτα ἔστω· τὰ δὲ κατ' ἰσχύν.. τὰ περὶ ὁπλομαχίαν.. (834a-d). Ταὐτὰ καὶ περὶ θηλειῶν ἔστω νομοθετούμενα τῶν μέχρι γάμου.. τόξοις καὶ πέλταις καὶ ἀκοντίοις καὶ λίθοις καὶ σφενδόναις ἁμιλλωμένων... Μονίπποις δὲ ἆθλα τιθέντες, πώλοις τε ἀβόλοις καὶ τελείων τε καὶ ἀβόλων τοῖς μέσοις καὶ αὐτοῖς δὴ τοῖς τέλος ἔχουσι κατὰ φύσιν τῆς χώρας ἂν τὴν ἱππικὴν ἀποδιδοῖμεν.. Τοξότης δὲ ἀφ' ἵππων Κρὴς οὐκ ἄχρηστος οὐδ' ἀκοντιστής, ὥστε ἔστω καὶ τούτων παιδιᾶς χάριν ἔρις τε καὶ ἀγωνία.. Θηλείας δὲ περὶ τούτων νόμοις μὲν καὶ ἐπιτάξεσιν οὐκ ἄξια βιάζεσθαι τῆς κοινωνίας. Ἐὰν δὲ ἐξ αὐτῶν τῶν ἔμπροσθεν παιδευμάτων εἰς ἔθος ἰόντων ἡ φύσις ἐνδέχηται καὶ μὴ δυσχεραίνῃ παῖδας ἢ παρθένους κοινωνεῖν, ἐᾶν καὶ μὴ ψέγειν.»

Ἄλλα δὲ μαθήματά εἰσι τοῖς δεκαετέσι γενομένοις παισὶν ἐπὶ τρία ἔτη γραφὴ καὶ ἀνάγνωσις, πρὸς δὲ δὴ μαθήματα ἄλυρα ποιητῶν κείμενα ἐν γράμμασι, τοῖς μὲν μετὰ μέτρων, τοῖς δ' ἄνευ ῥυθμῶν (Νόμ. 810b), εἶτα δὲ ἡ λογιστική, ἡ ἀριθμητική, ἡ γεωμετρία, ἡ ἀστρονομία καὶ αὐτὴ ἡ φιλοσοφία (Πολ. 522c, 525a—530c. Νόμ. 817e—822d.) Μὴ δὲ βίᾳ παραινεῖ τοὺς παῖδας ἐν τοῖς μαθήμασιν, ἀλλὰ παίζοντας τρέφειν (Πολ. 536e), τὴν δὲ διδασκαλίαν δεικτικὴν γίγνεσθαι (Κρατ. 430b—431a «τὸ δεῖξαι λέγω εἰς τὴν τῶν ὀφθαλμῶν αἴσθησιν.. εἰς τὴν τῆς ἀκοῆς αὖ αἴσθησιν καταστῆσαι») καὶ μεθόδῳ χρῆσθαι τῇ περιωνύμῳ ἤδη γενομένῃ μαιείᾳ.

Περὶ δὲ τῆς κατὰ Πλάτωνα μουσικῆς καὶ γυμναστικῆς καὶ τῶν ἄλλων μαθημάτων ὅρα πλείω K. Schmidts. Αὐτόθι σελ. 660—668. Σ. Μωραΐτου, Αὐτόθι, σελ. 46 καὶ ἑ. καὶ A. Mazarakis, Αὐτόθι, σελ. 40 καὶ ἑ.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μένα λύειν ἑκάστοις τὰ συσσίτια πάντα καθ' ἑκάστην ἡμέραν θεασαμένους καὶ ἰδόντας τὴν διαγωγὴν τὴν τῶν συσσιτίων, μετὰ δὲ ταῦτα σπείσαντας τόν τε ἄρχοντα καὶ τοὺς ἄλλους οἷς ἂν τυγχάνῃ θεοῖς ἡ τότε νὺξ τε καὶ ἡμέρα καθιερωμένη, κατὰ ταῦτα οὕτως οἴκαδε πορεύεσθαι (85).

Πρὸς τούτοις ὁ Πλάτων πολλὰ περὶ τῶν κατ' οἰκίαν διοικήσεων λέγων καὶ οὐκ ὀλίγα περί τε ἐδωδῆς καὶ πόσεως παραγγέλλων ἁπλαῖς τε καὶ λιταῖς τροφαῖς καὶ ὑδροποσίαις χρῆσθαι παραινεῖ καὶ καθόλου συνίστησι τὴν τὸ σῶμα ἐπιρρωννῦσαν δίαιταν καὶ τὴν τοῦτο παρασκευάζουσαν ἐπιτήδειον πεινᾶν τε καὶ διψᾶν ὑπομένειν καὶ ψῦχος καὶ θάλπος καὶ πάσας τὰς τοῦ καιροῦ μεταβολάς.(86). Ἐπὶ πᾶσι δὲ αἰσχρὸν ἡγεῖται τὸ ὅλην διατελεῖν ἡντινοῦν νύκτα εὕδοντα καὶ ὁντινοῦν τῶν πολιτῶν καὶ μὴ φανερὸν εἶναι πᾶσι τοῖς οἰκέταις ἐγειρόμενόν τε καὶ ἐξανιστάμενον ἀεὶ πρῶτον, καὶ δὴ καὶ δέσποιναν ἐν οἰκίᾳ ὑπὸ θεραπαινίδων ἐγείρεσθαί τινων καὶ μὴ πρώτην αὐτὴν ἐγείρειν τὰς ἄλλας. Ἐγειρομένους δὲ νύκτωρ δεῖ πάντας πράττειν τῶν τε πολιτικῶν μέρη πολλὰ καὶ τῶν οἰκονομικῶν, ἄρχοντας μὲν κατὰ πόλιν, δεσποίνας δὲ καὶ δεσπότας ἐν ἰδίαις οἰκίαις· ὕπνος γὰρ δὴ πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἡμῶν οὐδ' αὖ ταῖς πράξεσι ταῖς περὶ ταῦτα πάντα ἁρμόττων ἐστὶ κατὰ φύσιν· καθεύδων γὰρ οὐδεὶς οὐδενὸς ἄξιος, οὐ-

85) Νόμ. Ϛ, 780a—781a. Ζ, 806e.

86) Πολιτ. Γ, 403—405. Νόμ. Β, 666—668.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δὲν μᾶλλον τοῦ μὴ ζῶντος· ἀλλ' ὅστις τοῦ ζῆν ἡμῶν καὶ τοῦ φρονεῖν μάλιστά ἐστι κηδεμών, ἐγρήγορε χρόνον ὡς πλεῖστον, τὸ πρὸς ὑγίειαν αὐτοῦ μόνον φυλάττων χρήσιμον. Ἐγρηγορότες δὲ ἄρχοντες ἐν πόλεσι νύκτωρ φοβεροὶ μὲν κακοῖς, πολεμίοις τε ἅμα καὶ πολίταις, ἀγαστοὶ δὲ καὶ τίμιοι τοῖς δικαίοις τε καὶ σώφροσιν, ὠφέλιμοι δὲ αὑτοῖς τε καὶ συμπάσει τῇ πόλει (87).

Ὡς δὲ δεῖ σίτων καὶ πωμάτων ἀμέτρων καὶ ὕπνου πολλοῦ εἴργεσθαι, οὕτω καὶ τῶν πολλοὺς εἰς ἔσχατα βαλλουσῶν ἐπιθυμιῶν ἀπέχεσθαι καὶ τῶν ἀφροδισίων ἐγκρατεῖς εἶναι νόμος Πλάτωνι κεῖται (88). Καὶ παγχάλεπον μὲν τοῦτο, ἀλλ' οὐκ ἔστιν ὑπὲρ ἄνθρωπον· ἴσμεν γὰρ παμπόλλους ἀθλητάς, κάκιον τὰς ψυχὰς πεπαιδευμένους, τὰ δὲ σώματα πολὺ μᾶλλον σφριγῶντας, ἀφροδισίων, ὡς λόγος, οὐ πώποτε ἅψασθαι ἐν ὅλῃ τῇ τῆς ἀσκήσεως ἀκμῇ. Οἱ μὲν ἄρα νίκης ἕνεκα πάλης καὶ δρόμων καὶ τῶν τοιούτων ἐτόλμησαν ἀπέχεσθαι λεγομένου πράγματος ὑπὸ τῶν πολλῶν εὐδαίμονος, οἱ δὲ ἡμέτεροι παῖδες ἀδυνατήσουσι καρτερεῖν πολὺ καλλίονος ἕνεκα νίκης, ἣν ἡμεῖς καλλίστην ἐκ παίδων πρὸς αὐτοὺς λέγοντες ἐν μύθοις τε καὶ ἐν ῥήμασι καὶ ἐν μέλεσιν ᾄδοντες, ὡς εἰκὸς κηλήσομεν; Τῆς οὖν τῶν ἡδονῶν νίκης ἐγκρατεῖς ὄντας φαμὲν ἂν ζῆν εὐδαιμόνως, ἡττωμένους δὲ τοὐναντίον ἅπαν. Καὶ οὐ δεῖ χείρους ἡμῖν εἶναι τοὺς πολίτας ὀρνίθων καὶ ἄλλων θηρίων πολλῶν, οἳ κατὰ μεγάλας ἀγέλας γεννηθέντες μέχρι μὲν παιδογο-

87) Νόμ. Ζ, 807d—808c.—88) Νόμ. Ϛ, 783 c—e. Η, 839 b-e.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἀκούοντες μέγιστον δυναμένην καὶ οὕτω δὴ μὴ δυνατοὶ γίγνωνται κατακρατεῖν, νόμους ἐπ' αὐτῆς μηχανᾶσθαι χρή, μὴ ἀναίδειαν ἐνεῖναι τῇ τῶν ἀφροδισίων χρήσει, μηδένα δὲ τολμᾶν μηδενὸς ἅπτεσθαι τῶν γενναίων ἅμα καὶ ἐλευθέρων πλὴν γαμετῆς ἑαυτοῦ γυναικός (90).

Ἐνταῦθα δὲ περὶ ἀφροδισίων τοῦ λόγου ὄντος ἀναγκαῖον σημειώσασθαι καὶ τὸν Πλατωνικὸν νόμον τοῦ κατὰ φύσιν χρῆσθαι τῇ τῆς παιδογονίας συνουσίᾳ. Καίτοι δὲ πολλοὶ πολλὰ ἀδίκως τοῦ Σωκράτους κατεῖπον (91),

---

γυναῖκες· τούτου δὲ καὶ ἡ Πελίου θυγάτηρ Ἄλκηστις ἱκανὴν μαρτυρίαν παρέχεται ὑπὲρ τοῦδε τοῦ λόγου εἰς τοὺς Ἕλληνας ἐθελήσασα μόνη ὑπὲρ τοῦ αὑτῆς ἀνδρὸς ἀποθανεῖν », ἀλλ' ἀείποτε βουλόμενος ἁγνεύειν τὸν ἐρῶντα μεθ' ἁγνεύοντος τοῦ ἐρωμένου, παρακατιὼν (181a—c) προστίθησιν: «Ὁ μὲν οὖν τῆς πανδήμου Ἀφροδίτης ὡς ἀληθῶς πάνδημός ἐστι καὶ ἐξεργάζεται ὅ τι ἂν τύχῃ· καὶ οὗτός ἐστιν, ὃν οἱ φαῦλοι τῶν ἀνθρώπων ἐρῶσιν. Ἐρῶσι δ' οἱ τοιοῦτοι πρῶτον μὲν οὐχ ἧττον γυναικῶν ἢ παίδων, ἔπειθ' ὧν καὶ ἐρῶσι τῶν σωμάτων μᾶλλον ἢ τῶν ψυχῶν . . . Ὁ δὲ τῆς Οὐρανίας πρῶτον μὲν οὐ μετεχούσης θήλεος, ἀλλ' ἄρρενος μόνον—καὶ ἔστιν οὗτος ὁ τῶν παίδων ἔρως — ἔπειτα πρεσβυτέρας, ὕβρεως ἀμοίρου. Ὅθεν δὴ ἐπὶ τὸ ἄρρεν τρέπονται οἱ ἐκ τούτου τοῦ ἔρωτος ἔπιπνοι, τὸ φύσει ἐρρωμενέστερον καὶ νοῦν μᾶλλον ἔχον ἀγαπῶντες ». Ὡσαύτως δὲ καὶ κατ' Ἀριστοτέλη ὁ ἔρως ἐστὶ τῆς φιλίας μᾶλλον ἢ τοῦ συνεῖναι καὶ ὁ μᾶλλον ἐρῶν οὐ μᾶλλον ἐπιθυμεῖ τῆς συνουσίας (Πολιτ. Β, α, 15 — Ἀναλυτ. Προβλ. Β, κδ, 9—Τοπ. Ϛ, ζ, 3). Καὶ ὁ Πλούταρχος ἀφεῖλε τὴν συνουσίαν ἀπὸ τοῦ ἔρωτος (Ἐρωτ. Δ, 3—5). Περὶ δὲ τοῦ Πλατωνικοῦ ἔρωτος καθόλου ἔπιθι πλείω A. Fouillée, Αὐτόθι, τόμ. Δ', σελ. 108—124. — *Ad. Ostendorf*-Der platonische Eros. Schleswig. 1874—*Bottiche*r-Eros und Erkenntnis bei Plato. 1894.

90) Νόμ. Η, 840a— 841d.

91) Πρβ. Ed. Zeller, Αὐτόθι σελ. 69 σημ.—P. Gide, αὐτόθι σελ.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΓΥΜ. Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀλλ' ὅλος αὐτοῦ ὁ βίος καὶ ὅσα ὁ Ἀλκιβιάδης περὶ τῆς ἐγκρατείας καὶ σωφροσύνης τοῦ ἀνδρὸς μαρτυρεῖ (92), πάσης μομφῆς κρείττω ἀποδεικνῦσι τὸν δὴ δικαιότατον καὶ σωφρονέστατον καὶ ἐγκρατέστατον Σωκράτην. Καὶ ὁ Πλάτων ῥητῶς νουθετεῖ (93) κατὰ φύσιν χρῆσθαι τῇ τῆς παιδογονίας συνουσίᾳ, τοῦ μὲν ἄρρενος ἀπεχομένους μὴ κτείνοντάς τε ἐκ προνοίας τὸ τῶν ἀνθρώπων γένος μηδ' εἰς πέτρας τε καὶ λίθους σπείροντας, ἀπεχομένους δὲ ἀρούρας θηλείας πάσης, ἐν ᾗ μὴ βούλοιτ' ἄν σοι φύεσθαι τὸ σπαρέν. Ὁ δὴ νόμος οὗτος διηνεκὴς μὲν γενόμενος ἅμα καὶ κρατήσας, λέγει, μυρία ἀγαθὰ ἔχει· κατὰ φύσιν μὲν γὰρ πρῶτον κεῖται, λύπης δὲ ἐρωτικῆς καὶ μανίας καὶ μοιχειῶν πασῶν καὶ σωμάτων καὶ σίτων εἴργεσθαι ποιεῖ τῶν ἡμετέρων πάντων, γυναιξί τε αὐτῶν οἰκείους εἶναι καὶ φίλους· ἄλλα τε πάμπολλα ἀγαθὰ γίγνοιτ' ἄν, εἰ τοῦ νόμου τις τούτου δύναιτο ἐγκρατὴς εἶναι (94).

Ἐνταῦθα δὲ ὁ θεῖος ἀνὴρ καὶ τὰ περὶ σωφροσύνης ἀνδρὸς καὶ γυναικὸς διακελεύεται. Καίτοι δ' ἀείποτε μόνη ἡ μὴ σώφρων γυνὴ δίκην ἐδίδου καὶ μέχρι τοῦ

---

71 καὶ P. Mantegazza — L' amour dans l' Humanité, σελ. 117.

92) Πλάτ. Συμπόσ. 219d: «Οὗτος τοσοῦτον περιεγένετό τε καὶ κατεφρόνησε καὶ κατεγέλασε τῆς ἐμῆς ὥρας καὶ ὕβρισεν.. εὖ γὰρ ἴστε οὐδὲν περιττότερον καταδεδαρθηκὼς ἀνέστην μετὰ Σωκράτους ἢ εἰ μετὰ πατρὸς καθεῦδον ἢ ἀδελφοῦ πρεσβυτέρου».

93) Νόμ. Η, 838e—839b.

94) Πρβ. καὶ Φαῖδρ. 240 c-e, ἔνθα λέγεται παιδικοῖς ἐραστὴς πάντων ἀηδέστατον, καὶ ἐρῶν μὲν βλαβερός τε καὶ ἀηδής, λήξας δὲ τοῦ ἔρωτος εἰς τὸν ἔπειτα χρόνον ἄπιστος, καὶ Νόμ. Η, 836c.

ΕΡΓΑΣΤΗΡΙΟ ΨΗΦΙΑΚΟΠΟΙΗΣΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α.Τ.Π.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νῦν παρὰ τὸ χριστιανικὸν δόγμα, ὅπερ ἰσότητα πλήρη τῶν δύο γενῶν κηρύττει (95), ὁ ἀκοσμῶν ἀνὴρ διατελεῖ ἀνεύθυνος, μάτην δὲ βοᾷ ὁ τῆς ἐκκλησίας μέγας πατήρ, ὁ πολλὰ ὑπὲρ τῶν γυναικῶν συνηγορήσας Γρηγόριος ὁ Ναζιανζηνὸς (96): «Οὐ δέχομαι ταύτην τὴν νομοθεσίαν, οὐκ ἐπαινῶ τὴν συνήθειαν. Πῶς σὺ σωφροσύνην μὲν ἀπαιτεῖς, οὐκ ἀντεισφέρεις δέ; πῶς ὃ μὴ δίδως αἰτεῖς;», καὶ αὐταὶ αἱ νεώτεραι νομοθεσίαι μᾶλλον τὴν γυναῖκα κολάζουσιν (97)· ὁ Πλάτων αἱρεῖται ἐπισκόπους γυναῖκας ἐπιμελουμένας δικαίως τῆς σωφροσύνης ἀνδρός τε καὶ γυναικὸς καὶ ἐξαγγελλούσας εἴ τίς τινα ὁρᾷ πρὸς ἄλλ᾽ ἄττα βλέποντα ἄνδρα ἢ γυναῖκα τῶν παιδοποιουμένων ἢ πρὸς τὰ τεταγμένα ὑπὸ τῶν ἐν γάμοις θυσιῶν τε καὶ ἱερῶν γενομένων. Εἰσιοῦσαι δ᾽ εἰς τὰς οἰκίας τῶν νέων αἱ γυναῖκες τὰ μὲν νουθετοῦσαι, τὰ δὲ καὶ ἀπειλοῦσαι παυόντων αὐτοὺς τῆς ἁμαρτίας καὶ ἀμαθίας. Ἐὰν δὲ ἀδυνατῶσι, πρὸς τοὺς νομοφύλακας ἰοῦσαι φραζόντων, οἱ δ᾽ εἰργόντων. Ἐὰν δὲ καὶ ἐκεῖνοί πως ἀδυνατήσωσι, πρὸς τὸ δημόσιον ἀποφηνάντων, ἀναγράψαντές τε καὶ ὀμόσαντες ἦ μὴν ἀδυνατεῖν τὸν καὶ τὸν βελτίω ποιεῖν. Ὁ δὲ ἀναγραφεὶς ἄτιμος ἔστω, μὴ ἑλὼν ἐν δικαστηρίῳ τοὺς ἐγγράψαντας, τῶνδε· μήτε γὰρ εἰς γάμους ἴτω μήτε εἰς τὰς τῶν παίδων ἐπιτελειώσεις, ἂν δὲ ἴῃ, πληγαῖς ὁ βουληθεὶς ἀθῷος αὐτὸν

95) Γαλάτ. γ, 28: «Οὐκ ἔνι ἄρσεν καὶ θῆλυ, πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ». Πρβ. Ματθ. ιθ´ 5 – 6.

96) Λόγ. ΛΖ, 6 καὶ 7.

97) Πρβλ. Legouvé—Πανταζίδου, Αὐτόθι, σελ. 64.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Ε.Π ΙΩΑΝΝΙΝΑ 2006

κολαζέτω. Τὰ αὐτὰ δὲ καὶ περὶ γυναικὸς ἔστω νόμιμα· τῶν ἐξόδων γὰρ τῶν γυναικείων καὶ τιμῶν καὶ τῶν εἰς γάμους καὶ γενέσεις παίδων φοιτήσεων μὴ μετεχέτω, ἐὰν ἀκοσμοῦσα ὡσαύτως ἀναγραφῇ καὶ μὴ ἕλῃ τὴν δίκην. Ὅταν δὲ δὴ παῖδας γεννήσωνται κατὰ νόμους, ἐὰν ἀλλοτρίᾳ τις περὶ τὰ τοιαῦτα κοινωνῇ γυναικὶ ἢ γυνὴ ἀνδρί, ἐὰν μὲν παιδοποιουμένοις ἔτι, τὰ αὐτὰ ἐπιζήμια αὐτοῖς ἔστω, καθάπερ τοῖς ἔτι γεννωμένοις εἴρηται· μετὰ δὲ ταῦτα ὁ μὲν σωφρονῶν καὶ σωφρονοῦσα εἰς τὰ τοιαῦτα ἔστω πάντα εὐδόκιμος, ὁ δὲ τοὐναντίον ἐναντίως τιμάσθω, μᾶλλον δὲ ἀτιμαζέσθω. (98). Καθόλου δὲ παραινεῖ παιδεύεσθαι τοὺς πολίτας τὴν δικαιοσύνην, τὴν σωφροσύνην καὶ τὴν φρόνησιν, τὴν ἀδικίαν καὶ τὴν ὕβριν καὶ τὴν ἀφροσύνην ἐκ παντὸς τρόπου ἐκτρίβοντας καὶ ἐξωθοῦντας· φθείρει γὰρ ἡμᾶς ἀδικία καὶ ὕβρις μετ' ἀφροσύνης, σώζει δὲ δικαιοσύνη καὶ σωφροσύνη μετὰ φρονήσεως (99), καὶ πᾶσα ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία οὐ σοφία φαίνεται (100).

---

## 8 Η΄ ΠΟΙΝΙΚΗ ΝΟΜΟΘΕΣΙΑ

Ὡσαύτως καὶ ἐν ἁπάσῃ τῇ Πλατωνικῇ ποινικῇ νομοθεσίᾳ καταφαίνεται ἡ πρεσβευομένη ἄρρενός τε καὶ θήλεος ἰσότης. «Ἃ δὲ γίγνεται μὲν ὀλιγάκις δέ, ἂν διὰ θυμὸν πατὴρ ἢ μήτηρ υἱὸν ἢ θυγατέρα πληγαῖς ἤ τινι

98) Νόμ. Ϛ, 784. 99) Νόμ. I, 906a.
100) Μενέξ. 246e.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τρόπῳ βιαίῳ κτείνῃ, καθάρσεις μὲν τὰς αὐτὰς τοῖς ἄλλοις καθαιρέσθω καὶ ἐνιαυτοὺς τρεῖς ἀπενιαυτεῖν, κατελθόντων δὲ τῶν κτεινάντων ἀπαλλάττεσθαι γυναῖκά τε ἀπ' ἀνδρὸς καὶ τὸν ἄνδρα ἀπὸ γυναικός, καὶ μήποτ' ἔτι κοινῇ παιδοποιήσασθαι μηδὲ ξυνέστιον ὧν ἔκγονον ἢ ἀδελφὸν ἀπεστέρηκε γίγνεσθαί ποτε μηδὲ κοινωνὸν ἱερῶν. Ὁ δὲ ἀσεβῶν τε περὶ ταῦτα καὶ ἀπειθῶν ὑπόδικος ἀσεβείας γιγνέσθω τῷ ἐθέλοντι. Γυναῖκα δὲ γαμετὴν ἐὰν ἀνὴρ δι' ὀργὴν κτείνῃ τινά τις, ἢ γυνὴ ἑαυτῆς ἄνδρα ταὐτὸν τοῦ ὡσαύτως ἐργάσηται, καθαίρεσθαι μὲν τοὺς αὐτοὺς καθαρμούς, τριέτεις δὲ ἀπενιαυτήσεις διατελεῖν. Κατελθὼν δὲ ὅ τι τοιοῦτον δράσας τοῖς αὑτοῦ παισὶν ἱερῶν μὴ κοινωνείτω μηδὲ ὁμοτράπεζος γιγνέσθω ποτέ· ἀπειθῶν δὲ ὁ γεννήτωρ ἢ ὁ γεννηθεὶς ἀσεβείας αὖ ὑπόδικος γιγνέσθω τῷ ἐθέλοντι» (101). Τὰ αὐτὰ δ' ὡσαύτως νομοθετεῖ (102), ἐὰν ἀδελφὸς ἀδελφὸν ἢ ἀδελφὴν ἢ ἀδελφὴ ἀδελφὸν ἢ ἀδελφὴν θυμῷ κτείνῃ. Περὶ δὲ τῶν ἐκ προνοίας γιγνομένων τραυμάτων καὶ φόνων, φησί, γονέας δ' ἂν παῖς ἢ δοῦλος δεσπότην ὡσαύτως ἐκ προνοίας τρώσῃ, θάνατον εἶναι τὴν ζημίαν· καὶ ἂν ἀδελφὸς ἀδελφὸν ἢ ἀδελφὴν ἢ ἀδελφὴ ἀδελφὸν ἢ ἀδελφὴν ὡσαύτως τρώσῃ καὶ ὄφλῃ τραύματος ἐκ προνοίας, θάνατον εἶναι τὴν ζημίαν· γυνὴ δὲ ἄνδρα ἑαυτῆς ἐξ ἐπιβουλῆς τοῦ ἀποκτεῖναι τρώσασα, ἢ ἀνὴρ τὴν ἑαυτοῦ γυναῖκα, φευγέτω ἀειφυγίαν. Καὶ περὶ τῆς κτήσεως λαμβάνει πρόνοιαν, ἐὰν μὲν υἱεῖς ἢ θυγατέρες αὐτοῖς ὦσι παῖ-

101) Νόμ. Θ, 868c – e.

102) Νόμ. Θ, 868c.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

δες ἔτι, τοὺς ἐπιτρόπους ἐπιτροπεύειν καὶ ὡς ὀρφανῶν τῶν παίδων ἐπιμελεῖσθαι, ἐὰν δὲ ἄνδρες, μὴ ἐπάναγκες ἔστω τρέφεσθαι τὸν φεύγοντα ὑπὸ τῶν ἐκγόνων, τὴν δὲ οὐσίαν αὐτοὺς κεκτῆσθαι· πρὸς δὲ καὶ περὶ κληρονομίας ἄπαιδος, ὅστις ἂν τοιαύταις συμφοραῖς περιπέσῃ, τοὺς συγγενεῖς συνελθόντας μέχρι ἀνεψιῶν παίδων τοῦ πεφευγότος ἀμφοτέρωθεν πρός τε ἀνδρῶν καὶ πρὸς γυναικῶν κληρονόμον εἰς τὸν οἶκον τοῦτον τῇ πόλει τεσσαρακοντακαιπεντακισχιλιοστὸν καταστῆσαι βουλευομένους μετὰ νομοφυλάκων καὶ ἱερέων (103).

Ἐν ἁπάσαις δὲ ταῖς τῶν δύο γονέων σχέσεσι, μάλιστα δὲ δὴ ἐν οἷς λέγει περί τε πατροκτόνου καὶ μητροκτόνου, ὧν οὐδεμίαν ποιεῖται διάκρισιν, παρὰ τὴν κοινὴν δόξαν (104) σαφῶς κηρύττει ὅτι ἐν τῇ παιδογονίᾳ (105) ἡ μήτηρ δύναται ἴσον καὶ ὁ πατήρ. Ἐὰν δ' ἄρα τις, λέγει (106),

---

103) Νόμ. Θ, 877b - e.

104) Ἐν ταῖς Αἰσχύλου Εὐμενίσιν Ὀρέστης φονεὺς τοκέως οὐ λογίζεται ἀποκτείνας τὴν μητέρα·

οὐκ ἔστι μήτηρ ἡ κεκλημένου τέκνου
τοκεύς, τροφὸς δὲ κύματος νεοσπόρου·
τίκτει δ' ὁ θρῴσκων·    στ. 658—660.

Καὶ Ἀθηνᾶ τούτῳ ἀμύνει λέγουσα·

ψῆφον δ' Ὀρέστῃ τήνδ' ἐγὼ προσθήσομαι·
μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ' ἐγείνατο,
τὸ δ' ἄρσεν αἰνῶ πάντα.    στ. 735—738.

Τὸ δ' ἀνώτατον τῶν παλαιῶν δικαστήριον, ὁ Ἄρειος Πάγος, ἐπικυροῖ τὴν δόξαν ὡς ἡ μήτηρ τροφός ἐστι καὶ οὐ γεννήτρια.

105) Πρβ. Τιμ. 91a: «ζῷον τὸ μὲν ἐν ἡμῖν, τὸ δ' ἐν ταῖς γυναιξὶ συστήσαντες ἔμψυχον».

106) Νόμ. Θ, 869a-e.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εἰς τοσοῦτον ἀκρατὴς θυμοῦ γίγνηται πρὸς τοὺς γεννήσαντας, ὥστε μανίαις ὀργῆς τῶν γεννητόρων τολμῆσαι κτεῖναί τινα, ἐὰν μὲν ὁ τελευτήσας πρὶν τελευτῆσαι τὸν δράσαντα φόνου ἀφίῃ ἑκών, καθάπερ οἱ τὸν ἀκούσιον φόνον ἐξεργασάμενοι, καθαρθεὶς καὶ τἆλλα ὅσα περ ἐκεῖνοι πράξας, καθαρὸς ἔστω· ἐὰν δὲ μὴ ἀφῇ, πολλοῖς ἔνοχος ἔστω νόμοις ὁ δράσας τι τοιοῦτον· καὶ γὰρ αἰκίας δίκαις ταῖς ἐσχάταις ἔνοχος ἂν γίγνοιτο καὶ ἀσεβείας ὡσαύτως καὶ ἱεροσυλίας, τὴν τοῦ γεννήτου ψυχὴν συλήσας· τῷ γὰρ πατροφόνῳ ἢ μητροκτόνῳ μόνῳ οὐδ' ἀμυνομένῳ θάνατον μέλλοντι ὑπὸ τῶν γονέων τελευτήσεσθαι παρέξει νόμος οὐδεὶς κτεῖναι τὸν πατέρα ἢ μητέρα, τοὺς εἰς φῶς τὴν ἐκείνου φύσιν ἀγαγόντας, ἀλλ' ὑπομείναντα τὰ πάντα πάσχειν πρὶν τι δρᾶν τοιοῦτον νομοθετήσει. Κείσθω δὴ τῷ πατέρα ἢ μητέρα ἀποκτείναντι θυμῷ θάνατος ἡ ζημία.

## § Θ' Η ΓΥΝΗ ΕΝ ΤΗι ΠΟΛΙΤΕΙΑι

Πρὸς δὲ ὁ Πλάτων ἐπιτρέπει γυναικὶ ἐλευθέρᾳ μαρτυρεῖν καὶ συνηγορεῖν, ἐὰν ὑπὲρ τετταράκοντα ἔτη ᾖ γεγονυῖα, καὶ δίκην λαγχάνειν, ἐὰν ἄνανδρος ᾖ· ζῶντος δὲ ἀνδρὸς ἐξέστω μαρτυρῆσαι μόνον (107). Ἱκανὴν δὲ τὴν γυναῖκα λογίζεται ὁ φιλόσοφος καὶ πρὸς διοίκησιν καὶ ἀρχὴν πόλεως. Καὶ ἐν μὲν τῇ ἰδανικῇ πολιτείᾳ παρὰ τοὺς φύλακας τάττει καὶ τὰς *φυλακίδας*, ἵνα

107) Νόμ. ΙΑ, 937α.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

συνοικῶσι καὶ συμφυλάττωσι· γυναικὸς γὰρ καὶ ἀνδρὸς ἡ αὐτὴ φύσις εἰς φυλακὴν πόλεως, ἐὰν καὶ ἡ αὐτὴ τροφὴ καὶ παιδεία ἀποδοθῇ. Τὸ αὐτὸ δὴ γίγνεται καὶ τοῖς φύλαξι κυσίν· αἱ γὰρ θήλειαι τῶν φυλάκων κυνῶν συμφυλάττουσιν ἅπερ ἂν οἱ ἄρρενες φυλάττωσι, καὶ συνθηρεύουσι καὶ τἆλλα κοινῇ πράττουσι· καὶ οὐκ οἰόμεθα δεῖν τὰς μὲν οἰκουρεῖν ἔνδον ὡς ἀδυνάτους διὰ τὸν τῶν σκυλάκων τόκον τε καὶ τροφήν, τοὺς δὲ πονεῖν τε καὶ πᾶσαν ἐπιμέλειαν ἔχειν περὶ τὰ ποίμνια(108).

Ἐν δὲ τοῖς Νόμοις αἱρεῖται *ἀρχούσας* γυναῖκας πρῶτον μὲν κατὰ τὴν τροφὴν καὶ παιδείαν τῆς πρώτης ἡλικίας, περὶ ἧς εἴρηται, ἡ τῶν τροφῶν αὐτῶν καὶ τῆς ἀγέλης συμπάσης τῶν δώδεκα γυναικῶν μίαν ἐφ' ἑκάστῃ τετάχθαι, κοσμοῦσαν κατ' ἐνιαυτὸν τῶν προειρημένων, ἃς ἂν τάξωσιν οἱ νομοφύλακες, ἡ δὲ καταστᾶσα ἀρχέτω φοιτῶσα εἰς τὸ ἱερὸν ἑκάστης ἡμέρας κολάζουσα ἀεὶ τὸν ἀδικοῦντα, δοῦλον μὲν καὶ δούλην καὶ ξένον καὶ ξένην αὐτὴ διά τινων τῶν τῆς πόλεως οἰκετῶν, πολίτην δὲ ἀμφισβητοῦντα μὲν τῇ κολάσει πρὸς τοὺς ἀστυνόμους ἐπὶ δίκην ἄγουσα, ἀναμφισβήτητον δὲ ὄντα καὶ τὸν πολίτην αὐτὴ κολαζέτω (109). Εἶτα δὲ ὁρίζεται γυναῖκας *κυρίας τῶν γάμων* ἐπιμελουμένας τῆς σωφροσύνης τῶν γάμῳ συνῳκισμένων, ὧν μικρῷ πρότερον ἐμνήσθημεν. Καὶ ὅρον ἡλικίας τῶν μὲν ἀρχουσῶν τάττει τὰ τετταράκοντα ἔτη, τῶν δὲ

---

108) Πολιτ. Ε, 451d, 453α, κ. ἑ.

109) Νόμ. Ζ, 794b.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πολεμικῶν, ὅσαι ἂν φανῶσιν ἱκαναί, ἐπειδὰν γεννήσωσι παῖδας, τὸ δυνατὸν καὶ πρέπον ἑκάσταις προστάττει μέχρι τῶν πεντήκοντα ἐτῶν (110). Ἂν δὲ ταῖς ἀρχούσαις καταλέξωμεν καὶ τὰς *ἱερείας*, οὐδαμόθεν τὰς γυναῖκας ὁρῶμεν ὑπὸ τοῦ Πλάτωνος ἀπειργομένας.

---

## § Ι΄ ΕΠΙΛΟΓΟΣ

Τοιαῦτα *τὰ περὶ γυναικὸς παρὰ Πλάτωνι φιλοσοφούμενα*, ἅπερ οὐδεμιᾶς ἐξ ὧν ἴσμεν τοῦ αὐτοῦ ὑποκειμένου ἑτέρας ἰδίας πραγματείας γενομένης διὰ βραχέων ἐνταῦθα κατελέξαμεν. Καὶ πολλοὶ μὲν τὸ πάλαι πολλὰ κατὰ τῶν γυναικῶν ἔλεγον(111), ἀλλ' ὁ ἡμέτε-

---

110) Νόμ. ς', 785b.

111) Ὁ ἀτυχῶν συζεύξεων ἕνεκεν μισογύνης λεγόμενος Εὐριπίδης πολλὰ κακὰ τὸ γυναικεῖον φῦλον ἀγορεύει·

Ὅστις γυναῖκα τῶν πρὶν εἴρηκεν κακῶς
ἢ νῦν λέγει τις ἢ πάλιν μέλλει λέγειν,
ἅπαντα ταῦτα συντιθεὶς ἐγὼ φράσω·
γένος γὰρ οὔτε πόντος οὔτε γῆ τρέφει
τοιόνδ', ὁ δ' ἀεὶ συντυχὼν ἐπίσταται. (Ἑκάβ. στ. 1178—82).

Καὶ συνθεὶς ἅπαντα ταῦτα πρὸς πολλοῖς ἄλλοις καὶ τάδε λέγει·

Γυνή τε πάντων ἀγριώτατον κακόν. (Φοίν. ἀπόσπ. Θ')
Δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων,
δειναὶ δὴ ποταμοῦ καὶ πυρὸς θερμαὶ πνοαί,
δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα κακὰ μυρία,
ἀλλ' οὐδὲν δεινόν, ὡς γυνή, κακόν,
οὐδ' ἂν λόγος δείξειεν· εἰ δέ του θεῶν
τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν
μέγιστος ἴστω καὶ βροτοῖσι δυσμενής. (Αἰόλ. ἀπόσπ. ΙΘ').

ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ρος φιλόσοφος, καίπερ ὁμολογῶν σοφωτέρους μὲν καὶ φρονιμωτέρους(112) τοὺς ἄνδρας, *σμικρὰν δ' ἔχον διάνοιαν*(113) *καὶ φλυαρίαν καὶ μικρολογίαν*(114) *καὶ δειλίαν*(115) *καὶ ἀκραχολίαν*(116), *λαθραιότερον* δὲ *καὶ ἐπικλοπώτερον* τὸ θῆλυ, εἰθισμένον δὲ *δεδυκὸς καὶ σκοτεινὸν* ζῆν, εἰς φῶς δ' ἀγόμενον βίᾳ πᾶσαν ἀντίστασιν ἀντιτεῖνον (117) καὶ καθόλου *ἀσθενέστερον*

---

Μὴ ἀρκούμενος δὲ τούτῳ τῷ ψόγῳ, ὃν αὐτὸς κατὰ τῶν γυναικῶν ποιεῖ, καὶ ἄλλους πρὸς τοῦτο παρακελεύεται δυστήνους καὶ οὐ σοφοὺς καλῶν ἐκείνους, οἵτινες παύσονται κακῶς γυναῖκα λέγοντες (Ἰ. Στοβ. Ἀνθολ. ΟΓ', 1). Διὸ δὴ ἐν ταῖς τοῦ Ἀριστοφάνους Θεσμοφοριαζούσαις (στ. 545—550 καὶ 714—810) αἱ γυναῖκες κατηγοροῦσι τοῦ Εὐριπίδου, ὃς πολλὰ κακὰ δέδρακεν ἐπίτηδες εὑρίσκων λόγους, ὅπου γυνὴ πονηρὰ ἐγένετο, Μελανίππας ποιῶν Φαίδρας τε, Πηνελόπην δὲ οὐ πώποτε ἐποίησεν, ὅτι γυνὴ σώφρων ἔδοξεν εἶναι· καὶ διὰ πολλῶν ἀμυνόμεναι καὶ τῆς τε γυναικὸς καὶ τἀνδρὸς ἑκάστου ἔργα καὶ βίους παραβάλλουσαι ἐπιλέγουσιν·

Οὕτως ἡμεῖς πολὺ βελτίους τῶν ἀνδρῶν εὐχόμεθ' εἶναι.

Ἀλλ' ὁμολογητέον ὡς Εὐριπίδης λέγει μὲν ὅτι τῆς κακῆς γυναικὸς κάκιον οὐδὲν γίγνεται ἀλλὰ καὶ «Ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν πέφυκεν ἄμεινον» (Ἰ. Στοβ. Ἀνθολ. ΞΘ', 11), καὶ ἀλλαχοῦ μάλιστα δ' ἐν τῇ Ἀλκήστιδι εὐμενέστερον ἔχει πρὸς τὰς γυναῖκας. Παράβαλε καὶ Ἡσίοδον (Ἔργ. καὶ Ἡμ. στ. 702 - 3), ἐν οἷς λέγει

Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
τῆς ἀγαθῆς, τῆς δ' αὖ τε κακῆς οὐ ῥίγιον ἄλλο.

Ὡσαύτως δὲ Φωκυλίδης καὶ Σιμωνίδης ὁ Ἀμοργῖνος μετὰ δριμεῖς ἰάμβους ἐπαινοῦντες τὴν ἐκ μελίσσης ἄξιον λόγου τῇ γυναικὶ ἔπαινον ποιοῦσιν.

112) Κρατ. 392c—d. 113) Πολιτ. Ε, 469d.
114) Πολ. Η,549d. 115) Νόμ. Α, 639b. Ἀπολ. 35b.
116) Νόμ. Ε, 731d. 117) Νόμ. ϛ, 781a—c.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ.Ε.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

(118) τοῦ ἄρρενος, δοξάζει *τὰ περὶ γυναικῶν πολὺ ἄμεινον ἂν ἔχειν*, εἰ νόμον ἔτυχεν ἢ τὰ νῦν· καὶ ὁρῶν ταλασιουργοὺς καὶ χερνήτιδας καὶ ὑφαντρίας καὶ σκυτοτόμους καὶ ἱματιοπώλιδας καὶ ἀρτοπώλιδας καὶ λαχανοπώλιδας καὶ στεφανοπώλιδας καὶ πανδοκευτρίας καὶ μαίας καὶ ἄλλας ἄλλα ἀσκούσας, ἔτι δὲ καὶ αὐλητρίδας καὶ ψαλτρίας καὶ κιθαριστρίας καὶ ὀρχηστρίδας (119) καὶ πλὴν τῶν κοινῶν ἑταιρῶν γυναῖκας ἐλευθερίως πεπαιδευμένας πολλῇ τῇ χάριτι περὶ πολιτείας καὶ τέχνης καὶ φιλοσοφίας διαλεγομένας, οἵα ἡ *Ἀσπασία*(120), θαυμάζων δὲ τὸ κρητικὸν καὶ λακωνικόν, κόρας γυμνασίων μετόχους οὔσας ἅμα καὶ μουσικῆς ζῆν δεῖν(121), καὶ ἀκούων τὰ περὶ τῶν Σαυροματίδων καὶ Ἀμαζόνων, πείθεται πάντα, ὅσα περὶ τῶν ἀρρένων, *ἴσα καὶ τὰς θηλείας ἀσκεῖν δεῖν*, ἄρχειν τε τῶν ἔνδον ἔργων καὶ ἐπιμελημάτων καὶ τῶν πολιτικῶν μετέχειν καὶ τῶν εἰς τὸν πόλεμον κοινωνεῖν, τὰ αὐτὰ δὲ διδακτέον καὶ πάσῃ ῥώμῃ πάσας ὁμοθυμαδὸν τὰς γυναῖκας ἐπιτηδεύειν ἀνδράσι ταὐτά· δυνατὴ γὰρ ἡ φύσις ἡ θήλεια τῇ τοῦ ἄρρενος γένους κοινωνῆσαι εἰς ἅπαντα τὰ ἔργα, ἐὰν *ἡ αὐτὴ τροφὴ καὶ παιδεία ἀποδοθῇ*, καὶ

118) Πολιτ. Ε, 455d, 457b. Νόμ. ΙΑ, 917a.

119) Πρβ. *Paul Guiraud*—La main d'oeuvre industrielle dans l'ancienne Grèce. Paris. 1900. σελ. 150, 165 – 168 καὶ 181.

120) Περὶ Ἀσπασίας τῆς Μιλησίας ὅρα Πλούταρχον, Περικλ. κδ', —*Becq de Fouquières*—Aspasie de Milet. Paris. 1872.—Ern. Curtins. Αὐτόθι, Τόμ. Β', σελ. 639—641. Πρβ. καὶ J. Chauvin. Αὐτόθι, σελ. 48.

121) Νόμ. Ζ, 806b.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Ο ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ.ης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἔχει ὡς ἡ φαλακρῶν καὶ κομητῶν φύσις· διὸ δὴ γελοῖον ἂν εἴη, ἐὰν φαλακροὶ σκυτοτομῶσι, μὴ ἐᾶν κομήτας, ἐὰν δ' αὖ κομῆται, μὴ τοὺς ἑτέρους(122). Καὶ οὕτως ἀποκρούων τὴν τῆς γυναικὸς ὑποτέλειαν(123) *ἰσότητα* ἀξιοῖ παρὰ τὴν διαφορὰν τῆς φύσεως τῶν γενῶν· «οὐ γὰρ ἥμισυ μόνον ἔστιν ἂν τὸ περὶ τὰς γυναῖκας ἀκοσμήτως περιορώμενον, ὅσῳ δὲ ἡ θήλεια ἡμῖν φύσις ἐστὶ πρὸς ἀρετὴν χείρων τῆς τῶν ἀρρένων, τοσούτῳ διαφέρει πρὸς τὸ πλέον ἢ διπλάσιον εἶναι» (124). Οὐδεὶς δὲ

---

122) Πολιτ. Ε, 454d—454d.

123) Καίτοι «οὐκ ἔνι ἄρσεν καὶ θῆλυ» (Γαλ. γ', 28), κέκραγε τὸ σκεῦος τῆς ἐκλογῆς, ἀλλὰ κατὰ τὸν αὐτὸν ἀπόστολον ὑποτάσσεσθαι δεῖ τὰς γυναῖκας τοῖς ἀνδράσιν ('Εφεσ. ε', 22—33) καὶ οὐκ ἔξεστι «τῇ γυναικὶ διδάσκειν, οὐδὲ αὐθεντεῖν ἀνδρός» (Τιμόθ. Α' β, 12)· πολλοὶ δὲ τῶν πατέρων τῆς ἐκκλησίας ἀρχηγὸν ἁμαρτίας καὶ ὂν καταδεέστερον τὴν γυναῖκα ἐκάλεσαν (Κυρίλλου Κατήχ. ΙΓ'—'Ι. Χρυσοστόμου, ἐγκώμ. εἰς Μάξιμον δ', ἔτι δὲ Λόγ. Γ' εἰς τὸ Α' κεφ. τῆς Γεν. καὶ ΙΓ' εἰς τὸ Β' κεφ.—Τερτυλλιανοῦ De cultu feminarum, A, 1.—Πρβ. καὶ *Lucien Leduc*—La Femme devant le Parlement. Paris. 1898. σελ. 3)· καὶ ἡ ληγούσης τῆς ϛ' ἑκατονταετηρίδος ἐν Μακωνίᾳ τῆς Γαλλίας Σύνοδος ἔθηκε τὸ ζήτημα: ἡ γυνὴ ἔχει ψυχήν; Πρὸς δὲ καὶ ἐν τῷ κανονικῷ τῆς Δυτικῆς ἐκκλησίας δικαίῳ φέρεται (Causa XXXIII, V, 13 καὶ 14): «Mulier non est facta ad imaginem Dei.—Hinc apparet quemadmodum subditas feminas viris et pene famulas lex esse voluerit uxores». 'Αλλ' ὁ Θεολόγος Γρηγόριος ὧδε (Λόγ. ΛΖ' 6 καὶ 7) ὑπὲρ τῶν γυναικῶν ἀποφαίνεται: «Εἷς ποιητὴς ἀνδρὸς καὶ γυναικός, εἷς χοῦς ἀμφότεροι, εἰκὼν μία, νόμος εἷς, θάνατος εἷς, ἀνάστασις μία.. Οὐ τὸ μὲν ἀσθενέστερον εὑρέθη, τὸ δὲ ἰσχυρότερον.. ἀμφοτέρους σῴζει Χριστὸς τοῖς πάθεσιν.. Ἔσονται μὲν οὖν οἱ δύο, φησίν, εἰς σάρκα μίαν, καὶ ἡ μία σὰρξ ἐχέτω τὸ ὁμότιμον».

124) Νόμ. ϛ, 781b.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῶν τε πάλαι καὶ νῦν(125) περὶ γυναικὸς ἐφιλοσόφησεν ἄμεινον καὶ θαυμασιώτερον ἢ ὁ μηδὲν τῶν *περὶ γυναῖκας ζητημάτων* ἀνεξέταστον καταλιπὼν δαιμόνιος νοῦς τοῦ δικαίως θεωρουμένου *πρώτου ὑπερμάχου*(126) τῆς δὴ λεγομένης *γυναικείας χειραφεσίας* καὶ ὑπάτου *γυναικιστοῦ*(127) θείου Πλάτωνος. Καίτοι δὲ καθ' ἅπαντας τοὺς χρόνους πλεῖσται γυναῖκες περί τε τὰ γράμματα, τὰς ἐπιστήμας, τὰ διάφορα ἐπιτηδεύματα, τὸν πόλεμον καὶ τὴν πολιτικὴν ἀρίστην εὐδοκίμησιν ἐπεδείξαντο (128), ἀλλ' ἀείποτε ἀνδρῶν νομοθετούντων κατὰ τῶν γυναικῶν ἡ νομοθεσία. Διὸ νῦν κατὰ τὴν λήξασαν μάλιστα ἑκατονταετηρίδα οὐκ ὀλίγοι (129)

125) Ἐπὶ τοῦ ἱπποτισμοῦ ἡ γυνὴ τῷ ἔρωτι ἦρχε τῶν ἀνδρῶν καὶ κατὰ τοὺς νεωτέρους χρόνους πολλοὶ ἡγοῦντο τὴν φύσιν οὐδεμίαν ἄλλην ἰσχὺν ἢ τὰ θέλγητρα μόνα ταῖς γυναιξὶ παρασχεῖν (*J. J. Rousseau*, Émile, V.—Montesquieu—Esprit des lois, ΙΣΤ', 2)· καθόλου δὲ οὐκ ὀλίγοι, ὡς ὁ *Proudhon* καὶ ὁ μισογύνης φιλόσοφος *Schopenhauer*, ὃν ὑποτελῆ καὶ κατώτερον ὁρίζονται τὴν γυναῖκα (ὅρα Lucien Leduc. *Αὐτόθι*, σελ. 4). Ἀλλὰ καὶ ὑπὲρ τῶν γυναικῶν πολλοὶ πολλὰ ἔγραψαν. (Ὅρα καὶ Legouvé—Πανταζίδου. Αὐτόθι, σελ. κ'—κδ'). Τῶν δὲ δὴ κοινωνιστῶν τινες (πρβ. *Aug. Bebel*—Die Frau und Sozialismus. Stuttgart. 1891) παρὰ τὴν ἐπιμελεστάτην τῶν κατὰ τὸν γάμον καὶ τὴν πόλιν Πλατωνικὴν μάλιστα ἐν τοῖς Νόμοις νομοθεσίαν τοῦ πραγματικοῦ βίου πολὺ ἀφιστάμενοι κοινότητα μᾶλλον κτήσεως καὶ γυναικῶν φαίνονται πρεσβεύοντες.

126) Πρβ. Lily Braun—Die Frauenfrage im Altertum. Αὐτόθι, σελ. 108.

127) Διὰ τοῦ γυναικιστὴς (γυναικίζων ἢ φιλογύνης) ἀποδοτέον ἂν εἴη τό: feministe.

128) Ὅρα Otto Henne am Rhyn. Αὐτόθι.

129) Ὅρα L. Leduc. Αὐτόθι σελ. 8—10 καὶ 278—314.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φιλόσοφοι, πολιτικοὶ καὶ κοινωνιολόγοι, ἄνδρες τε καὶ γυναῖκες, ἔτι δὲ σύλλογοι καὶ ἑταιρεῖαι καὶ πολιτεῖαι δεινοὺς ὑπὲρ τῆς ἐλευθερίας καὶ ἰσότητος τῶν γυναικῶν ἀγωνίζονται ἀγῶνας, καὶ πολλαχοῦ ἤδη τῆς Εὐρώπης καὶ Ἀμερικῆς ἡ γυνὴ τῶν αὐτῶν ἀκροωμένη μαθημάτων καὶ τὰς αὐτὰς ὑφισταμένη γυμνασιακὰς καὶ πανεπιστημιακὰς δοκιμασίας κτᾶται ὁσημέραι πλείω ἔν τε τῇ κοινωνίᾳ καὶ τῇ πολιτείᾳ *δίκαια*(130), καὶ τῆς *Πλατωνικῆς δόξης ὡς ἔστι καὶ γυνὴ γυμναστικὴ καὶ μουσικὴ καὶ ἰατρικὴ καὶ φιλόσοφος καὶ πολεμικὴ καὶ φυλακικὴ καὶ ἀρχικὴ καὶ δεῖ τῶν αὐτῶν καὶ ὁ ἀνὴρ μετέχειν παιδευμάτων καὶ ἐπιμελημάτων καὶ τὰ αὐτὰ ἀσκεῖν* (131) προσδοκᾶται ἡ ἐν πολλοῖς κατίσχυσις καὶ *περιφανὴς νίκη*.

---

130) Ὅρα Jeanne Chauvin. Αὐτόθι.—Léon Giraud. Αὐτόθι.

131) Πολιτ. Ε, 451c—457a. Νόμ. Ϛ, 781d—785b. Ζ, 805d —806b.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006